SIGLA

P = editio princeps (Xylandri ed. prior) ex codice hodie deperdito Tiguri a.d. MDLIX° impressa.

P cod. = eiusdem codicis verba in notis Xyl. servata.

A = cod. Vaticanus Gr. 1959, saec. xv.

D = cod. Darmstadtinus 2773 (cod. Creuzeri), saec. xiv vel xv, excerpta continens.

C = codd. excerpta e libris i–iv continentes.

Mo 1 = cod. Monacensis Gr. 323, saec. xvi, excerpta continens.

Mo 2 = cod. Monacensis Gr. 529, olim Augustanus, saec. xiv, excerpta classis X continens (cod. Hoeschelianus apud Cas.: B apud Schenkl).

X = codd. excerpta e libris iv. 49–xii. 34 continentes.

Consensus codicum nullo signo addito exhibetur.

Bas. = Xyl. editio altera, Basileae a.d. MDLXVIII° impressa.

Xyl. versio Latina uncinis rotundis inclusa citatur.

Testimonia ex Suida vel aliunde petita: loci auctorum parallel. ad calcem textus exhibentur.

Foliorum cod. A series (341 r–392 v) in textu nota |, inter testimonia verbo primo indicatur.

Index compendiorum p. lxxx datur.

ΒΙΒΛΙΟΝ Β

Τὰ ἐν Κουάδοις πρὸς τῷ Γρανούᾳ α'

1 Ἔωθεν προλέγειν ἑαυτῷ· συντεύξομαι περιέργῳ, ἀχαρίστῳ, ὑβριστῇ, | δολερῷ, βασκάνῳ, ἀκοινωνήτῳ· πάντα ταῦτα συμβέβηκεν ἐκείνοις παρὰ τὴν ἄγνοιαν τῶν ἀγαθῶν καὶ κακῶν. ἐγὼ δὲ τεθεωρηκὼς τὴν φύσιν τοῦ ἀγαθοῦ ὅτι καλόν, καὶ τοῦ κακοῦ ὅτι αἰσχρόν, καὶ τὴν αὐτοῦ τοῦ ἁμαρτάνοντος φύσιν ὅτι μοι συγγενής, οὐχὶ αἵματος ἢ σπέρματος τοῦ αὐτοῦ ἀλλὰ νοῦ καὶ θείας ἀπομοίρας μέτοχος, οὔτε βλαβῆναι ὑπό τινος αὐτῶν δύναμαι· αἰσχρῷ γάρ με οὐδεὶς περιβαλεῖ· οὔτε ὀργίζεσθαι τῷ συγγενεῖ δύναμαι οὔτε ἀπέχθεσθαι αὐτῷ. γεγόναμεν γὰρ πρὸς συνεργίαν ὡς πόδες, ὡς χεῖρες, ὡς βλέφαρα, ὡς οἱ στοῖχοι τῶν ἄνω καὶ τῶν κάτω ὀδόντων. τὸ οὖν ἀντιπράσσειν ἀλλήλοις παρὰ φύσιν· ἀντιπρακτικὸν δὲ τὸ ἀγανακτεῖν καὶ ἀποστρέφεσθαι.

2 Ὅ τί ποτε τοῦτό εἰμι, σαρκία ἐστὶ καὶ πνευμάτιον καὶ τὸ ἡγεμονικόν. τῶν μὲν σαρκίων καταφρόνησον· λύθρος καὶ ὀστάρια καὶ κροκύφαντος, ἐκ νεύρων, φλεβίων, ἀρτηριῶν πλεγμάτιον. θέασαι δὲ καὶ τὸ πνεῦμα ὁποῖόν τί ἐστιν· ἄνεμος, οὐδὲ ἀεὶ τὸ αὐτό, ἀλλὰ πάσης ὥρας ἐξεμούμενον καὶ πάλιν ῥοφούμενον. τρίτον οὖν ἐστι τὸ ἡγεμονικόν. ἄφες τὰ βιβλία· μηκέτι σπῶ· οὐ δέδοται. ἀλλ' ὡς ἤδη

2 incipit 344 v δολερῷ 3 *πάντες οἱ τὰ αἰσχρὰ καὶ τὰ κακὰ ποιοῦντες ἄκοντες ποιοῦσιν* Pl. *Prt.* 345 d 7 *ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλητος οὔτε Ἄνυτος, οὐδὲ γὰρ ἂν δύναιτο· οὐ γὰρ οἶομαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι* (βλαβῆναι v.l. Max. Tyr. 12. 8) Pl. *Ap.* 30 c 8 *οὐδεὶς οὖν κύριος οὔτ' ἀγαθόν μοι περιποιῆσαι οὔτε κακῷ με περιβαλεῖν, ἀλλ' ἐγὼ αὐτὸς ἐμαυτοῦ κατὰ ταῦτα ἐξουσίαν ἔχω μόνος* Epict. iv. 12. 8 9 *ὥσπερ εἰ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τῷ συλλαμβάνειν ἀλλήλοιν ἐποίησεν, ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν ἀλλήλω, ἢ εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν . . .* Xen. *Mem.* ii. 3. 18 13 *τίς εἰμι; μήτι σωμάτιον . . . οὐδὲν τούτων. ἀλλὰ τί; λογικόν εἰμι ζῷον* Epict. iv. 6. 34 *τί ἐστιν αὐτός . . . οὐκ ἔστι σάρξ, οὐδ' ὀστᾶ, οὐδὲ νεῦρα, ἀλλὰ τὸ τούτοις χρώμενον* id. iv. 7. 32

Superscriptum exhibet P, tria proxima capita subnectit, tum librum secundum incohat per *Βιβλίον Β. Μέμνησο*: om. A spatio trium vers. relicto: *τοῦ αὐτοῦ μάρκου* D 1–18 D C 1 *Ἔωθεν* P (solebat). *Ἔωθεν* A *ἐντεύξομαι* C 7 *μοι* Cν: *με* Co 8 *περιβάλλει* P C (conjiciet) *ἀπέχεσθαι* A 10 *τῶν* alt. om. A D 12 *ἀποτρέπεσθαι* C: *τὸ ἀποτρέπεσθαι* Co 13 *τοῦτο ὅ* C 14 *λίθος καὶ ὀστράκια* C 15 *κροκύφαντον* P *νέβρων* A C 16 *καὶ* om. Co 18 *ἄφες . . . ἀποθνήσκων*, post *ἡγ.* alin. 14 scripta, huc transtuli. *οὐ δέδοται ἀλλ'* om. D

ἀποθνῄσκων ὧδε ἐπινοήθητι· γέρων εἶ· μηκέτι τοῦτο ἐάσῃς δουλεῦσαι, μηκέτι καθ' ὁρμὴν ἀκοινώνητον νευροσπαστηθῆναι, μηκέτι τὸ εἱμαρμένον ἢ παρὸν δυσχεραῖναι ἢ μέλλον ὑπιδέσθαι.

3 Τὰ τῶν θεῶν προνοίας μεστά. τὰ τῆς τύχης οὐκ ἄνευ φύσεως ἢ συγκλώσεως καὶ ἐπιπλοκῆς τῶν προνοίᾳ διοικουμένων. πάντα ἐκεῖθεν ῥεῖ· πρόσεστι δὲ τὸ ἀναγκαῖον καὶ τὸ τῷ ὅλῳ κόσμῳ συμφέρον, οὗ μέρος εἶ. παντὶ δὲ φύσεως μέρει ἀγαθόν, ὃ φέρει ἡ τοῦ ὅλου φύσις καὶ ὃ ἐκείνης ἐστὶ σωστικόν. σῴζουσι δὲ κόσμον, ὥσπερ αἱ τῶν στοιχείων, οὕτως καὶ αἱ τῶν συγκριμάτων μεταβολαί. ταῦτά σοι ἀρκείτω· ἀεὶ δόγματα ἔστω. τὴν δὲ τῶν βιβλίων δίψαν ῥῖψον, ἵνα μὴ γογγύζων ἀποθάνῃς, ἀλλὰ ἵλεως ἀληθῶς καὶ ἀπὸ καρδίας εὐχάριστος τοῖς θεοῖς.

4 | Μέμνησο ἐκ πόσου ταῦτα ἀναβάλλῃ καὶ ὁποσάκις προθεσμίας λαβὼν παρὰ τῶν θεῶν οὐ χρᾷ αὐταῖς. δεῖ δὲ ἤδη ποτὲ αἰσθέσθαι τίνος κόσμου μέρος εἶ καὶ τίνος διοικοῦντος τὸν κόσμον ἀπόρροια ὑπέστης καὶ ὅτι ὅρος ἐστί σοι περιγεγραμμένος τοῦ χρόνου, ᾧ ἐὰν εἰς τὸ ἀπαιθριάσαι μὴ χρήσῃ, οἰχήσεται καὶ οἰχήσῃ καὶ αὖθις οὐκ ἐξέσται.

5 Πάσης ὥρας φρόντιζε στιβαρῶς ὡς Ῥωμαῖος καὶ ἄρρην τὸ ἐν χερσὶ μετὰ τῆς ἀκριβοῦς . . . . καὶ ἀπλάστου σεμνότητος καὶ φιλοστοργίας καὶ ἐλευθερίας καὶ δικαιότητος πράσσειν καὶ σχολὴν ἑαυτῷ ἀπὸ πασῶν τῶν ἄλλων φαντασιῶν πορίζειν. πορισῇ δέ, ἂν ὡς ἐσχάτην τοῦ βίου ἑκάστην πρᾶξιν ἐνεργῇς, ἀπηλλαγμένος πάσης εἰκαιότητος καὶ ἐμπαθοῦς ἀποστροφῆς ἀπὸ τοῦ αἱροῦντος λόγου καὶ ὑποκρίσεως καὶ φιλαυτίας καὶ δυσαρεστήσεως πρὸς τὰ συμμεμοιραμένα. ὁρᾷς πῶς ὀλίγα ἐστίν, ὧν κρατήσας τις δύναται

6 σύμφωνον τοῦτο τῷ τοῦ αὐτοκράτορος Μάρκου, πάντα ἄνωθεν ῥεῖ Arethas ad *Dio. Chrys. Or.* 32. 15 (Sonny p. 116). συγγενεῖς τινες τοῦ θεοῦ ἐσμὲν κἀκεῖθεν ἐληλύθαμεν Epict. i. 9. 13 incipit 345 r Μέμνησο

1–26 D, 1–12 C 1 ᾧ δὴ A D C: γρ' καὶ ᾧ δὲ A marg.: ὠδὶ Wil. ἐπινοήθητι D Gat.: ἀπονοήθητι P A C τούτῳ C νευροσπαστησθῆναι P corr. Bas. νευροπασθῆναι A: νευροσπασθῆναι D C 3 ὑποδύεσθαι P: ἀποδύεσθαι A D: ἀναδύεσθαι C corr. Wil. 7 συμφέρειν A D C 10 εἰ δόγματά ἐστιν A D καὶ δόγματα ἔστω Rich. 11 γογγίζων A 13 ἀναβάλῃ A ὑποσάκις P corr. Bas.: ὅτι ποσάκις A: ὅτι ὁποσάκις D προθεσμίαν P 16 ὅρος ἔσται A D (om. ὅτι) 17 μὴ ἀπαιθριάσαι corr. Gat. οἰχήσεται οἰχήσῃ A D οὐχ ἥξεται P 19 μετὰ ἀκριβοῦς D: lacunam indicavi 20 διὰ σκαιότητος A: μὴ διὰ σκαιότητος D 20–1 χολὴν ἑαυτῶν A: σχολὴν σαυτῷ P 22 ἀπηλλαγμένην corr. Polak 23 εἰσκαιότητος A: σκαιότητος D 25 συμμεμηρυμένα Cor.

εὕρουν καὶ θεουδῆ βιῶσαι βίον· καὶ γὰρ οἱ θεοὶ πλέον οὐδὲν ἀπαιτήσουσι παρὰ τοῦ ταῦτα φυλάσσοντος.

6 Ὑβρίζεις, ὑβρίζεις ἑαυτήν, ὦ ψυχή· τοῦ δὲ τιμῆσαι σεαυτὴν οὐκέτι καιρὸν ἕξεις· ἀκαριαῖος ὁ βίος ἑκάστῳ, οὗτος δέ σοι σχεδὸν διήνυσται, μὴ αἰδουμένῃ σεαυτήν, ἀλλ' ἐν ταῖς ἄλλων ψυχαῖς τιθεμένῃ τὴν σὴν εὐμοιρίαν.

7 Περισπᾷ τί σε τὰ ἔξωθεν ἐμπίπτοντα; καὶ σχολὴν πάρεχε σεαυτῷ τοῦ προσμανθάνειν ἀγαθόν τι καὶ παῦσαι ῥεμβόμενος. ἤδη δὲ καὶ τὴν ἑτέραν περιφορὰν φυλακτέον· ληροῦσι γὰρ καὶ διὰ πράξεων οἱ κεκμηκότες τῷ βίῳ καὶ μὴ ἔχοντες σκοπόν, ἐφ' ὃν πᾶσαν ὁρμὴν καὶ καθάπαξ φαντασίαν ἀπευθύνουσιν.

8 Παρὰ μὲν τὸ μὴ ἐφιστάνειν, τί ἐν τῇ ἄλλου ψυχῇ γίνεται, οὐ ῥᾳδίως τις ὤφθη κακοδαιμονῶν· τοὺς δὲ τοῖς τῆς ἰδίας ψυχῆς κινήμασι μὴ παρακολουθοῦντας ἀνάγκη κακοδαιμονεῖν.

9 Τούτων ἀεὶ μεμνῆσθαι, τίς ἡ τῶν ὅλων φύσις καὶ τίς ἡ ἐμὴ καὶ πῶς αὕτη πρὸς ἐκείνην ἔχουσα καὶ ὁποῖόν τι μέρος ὁποίου τοῦ ὅλου οὖσα καὶ ὅτι οὐδεὶς ὁ κωλύων τὰ ἀκόλουθα τῇ φύσει, ἧς μέρος εἶ, πράσσειν τε ἀεὶ καὶ λέγειν.

10 Φιλοσόφως ὁ Θεόφραστος ἐν τῇ συγκρίσει τῶν ἁμαρτημάτων, | ὡς ἄν τις κοινότερον τὰ τοιαῦτα συγκρίνειε, φησὶ βαρύτερα εἶναι τὰ κατ' ἐπιθυμίαν πλημμελούμενα τῶν κατὰ θυμόν. ὁ γὰρ θυμούμενος μετά τινος λύπης καὶ λελῃθυίας συστολῆς φαίνεται τὸν λόγον ἀποστρεφόμενος· ὁ δὲ κατ' ἐπιθυμίαν ἁμαρτάνων, ὑφ' ἡδονῆς ἡττώμενος ἀκολαστότερός πως φαίνεται καὶ θηλύτερος ἐν ταῖς ἁμαρτίαις. ὀρθῶς οὖν καὶ φιλοσοφίας ἀξίως ἔφη μείζονος ἐγκλή-

5 μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ . . . ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι Democritus *Fr.* 264 D. αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον ἄρξῃ σαυτὸν αἰδεῖσθαι Musonius, *Fr.* xxx σὺ δὲ σαυτὸν αἰδοῦ μάλιστα, πειθόμενος τῷ φάντι· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν Galen, v. 26 20 incipit 345 v ὡς

1–25 D, 15–25 C, 19–20, 25 Mo 1 1 εὔνουν A D 3 ὕβριζε, ὕβριζε corr. Gat.: ἑαυτήν A D: ἀυτὴν P: σεαυτήν Cor. 4 εὖ γὰρ P: οὐ γὰρ A: βραχὺς γὰρ D εἷς γὰρ Boot: ῥεῖ γὰρ Holst.: ἀκαριαῖος ego 7 Περισπᾷ ἔτι Rend. καὶ om. D 9 ἑτέρων D 10 ⟨ἐν⟩ τῷ β. Morus 11 ἀπευθυνοῦσιν corr. Gat. 12 τὸ ἐφεστηκέναι A D γίγνεται P 13 δὲ τῆς ἰ. A: δὲ τοῖς ἰ. D κακοδαιμονᾶν A D 15 ἀεὶ δεῖ correxi 16 ὁποῖον A D του Schultz² ⟨τινὸς⟩ τοῦ forsan cf. iii. 11. 2 17 εἰμί forsan 18 πράσσειν σε Cor. λέγει A 19 φιλοσόφως C: φιλοσόφους Co συγκρίκσει P corr. Bas. 25 φιλοσόφως A D: φιλοσόφου Polak

ματος ἔχεσθαι τὸ μεθ' ἡδονῆς ἁμαρτανόμενον ἤπερ τὸ μετὰ λύπης· ὅλως τε ὁ μὲν προηδικημένῳ μᾶλλον ἔοικε καὶ διὰ λύπης ἠναγκασμένῳ θυμωθῆναι· ὁ δὲ αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὥρμηται, φερόμενος ἐπὶ τὸ πρᾶξαί τι κατ' ἐπιθυμίαν.

11 Ὡς ἤδη δυνατοῦ ὄντος ἐξιέναι τοῦ βίου, οὕτως ἕκαστα ποιεῖν καὶ λέγειν καὶ διανοεῖσθαι. τὸ δὲ ἐξ ἀνθρώπων ἀπελθεῖν, εἰ μὲν θεοὶ εἰσίν, οὐδὲν δεινόν· κακῷ γάρ σε οὐκ ἂν περιβάλοιεν· εἰ δὲ ἤτοι οὐκ εἰσὶν ἢ οὐ μέλει αὐτοῖς τῶν ἀνθρωπείων, τί μοι ζῆν ἐν κόσμῳ 2 κενῷ θεῶν ἢ προνοίας κενῷ; ἀλλὰ καὶ εἰσὶ καὶ μέλει αὐτοῖς τῶν ἀνθρωπείων καὶ τοῖς μὲν κατ' ἀλήθειαν κακοῖς ἵνα μὴ περιπίπτῃ ὁ ἄνθρωπος, ἐπ' αὐτῷ τὸ πᾶν ἔθεντο· τῶν δὲ λοιπῶν εἴ τι κακὸν ἦν, καὶ τοῦτο ἂν προείδοντο, ἵνα ἐπὶ παντὶ ᾖ τὸ μὴ περιπίπτειν αὐτῷ. (ὃ δὲ χείρω μὴ ποιεῖ ἄνθρωπον, πῶς ἂν τοῦτο βίον ἀνθρώπου χείρω 3 ποιήσειεν;) οὔτε δὲ κατ' ἄγνοιαν οὔτε εἰδυῖα μέν, μὴ δυναμένη δὲ προφυλάξασθαι ἢ διορθώσασθαι ταῦτα ἡ τῶν ὅλων φύσις παρεῖδεν ἄν, οὔτ' ἂν τηλικοῦτον ἥμαρτεν ἤτοι παρ' ἀδυναμίαν ἢ παρ' ἀτεχνίαν, ἵνα τὰ ἀγαθὰ καὶ τὰ κακὰ ἐπίσης τοῖς τε ἀγαθοῖς 4 ἀνθρώποις καὶ τοῖς κακοῖς πεφυρμένως συμβαίνῃ. θάνατος δέ γε καὶ ζωή, δόξα καὶ ἀδοξία, πόνος καὶ ἡδονή, πλοῦτος καὶ πενία, πάντα ταῦτα ἐπίσης συμβαίνει ἀνθρώπων τοῖς τε ἀγαθοῖς καὶ τοῖς κακοῖς, οὔτε καλὰ ὄντα οὔτε αἰσχρά. οὔτ' ἄρ' ἀγαθὰ οὔτε κακά ἐστι.

12 Πῶς πάντα ταχέως ἐναφανίζεται, τῷ μὲν κόσμῳ αὐτὰ τὰ σώματα, τῷ δὲ αἰῶνι αἱ μνῆμαι αὐτῶν· οἷά ἐστι τὰ αἰσθητὰ πάντα καὶ μάλιστα τὰ ἡδονῇ δελεάζοντα ἢ τῷ πόνῳ φοβοῦντα ἢ τῷ τύφῳ

3 Suid. αὐτόθεν: ἀντὶ τοῦ οἴκοθεν, ἔνδοθεν. ὁ δὲ αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὥρμηται (cf. i. 7 *Test.*) 9 ἓν τι τοῦτο διανοεῖσθαι ἀληθές, ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε τελευτήσαντι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα Pl. *Ap.* 41 c 25 ἡδονήν, μέγιστον κακοῦ δέλεαρ Pl. *Ti.* 69 d

---

1–25 D, 1–11, 24–25 C, 1 Mo 1 1 τὸ alt. om. C 2 ἔοικε μᾶλλον D διὰ λύπην P 4 πρᾶξαί τινα P 5 καὶ λέγειν om. P (et dicenda) 6 τὸ μὲν C 7 περιβάλλοιεν Cν ἢ δὲ εἴ τι P (sin autem vel) 8–10 τί . . . ἀνθρωπείων omiserat A, sed in margine adscripsit; eadem verba om. C 8 τί σοι ζῆν Cor. 10 περιπίπτει A P corr. Bas. 11 τῶν δὲ κακῶν εἴ τι λοιπὸν A D 12 προίδοντο P A: προίδοιντο D corr. Nauck ἐπῇ πάντῃ τὸ corr. Cor. (ne omnino in malum incideret) αὐτὸ A 13 ποιῇ A (ὃ δὲ . . . ποιήσειεν;) hinc transponere ad lineam 21 post αἰσχρά velim 16 παρὰ δύναμιν AD 18 γε om. D 24 αἱ om. A D πάντα om. C

διαβεβοημένα, πῶς εὐτελῆ καὶ εὐκαταφρόνητα καὶ ῥυπαρὰ καὶ εὔφθαρτα καὶ νεκρά—νοερᾶς δυνάμεως ἐφιστάναι. τί εἰσιν οὗτοι, ὧν αἱ ὑπολήψεις καὶ | αἱ φωναὶ τὴν εὐδοξίαν ⟨καὶ τὴν ἀδοξίαν παρέχουσι⟩. τί ἐστι τὸ ἀποθανεῖν, καὶ ὅτι, ἐάν τις αὐτὸ μόνον ἴδῃ καὶ τῷ μερισμῷ τῆς ἐννοίας διαλύσῃ τὰ ἐμφανταζόμενα αὐτῷ, οὐκέτι ἄλλο τι ὑπολήψεται αὐτὸ εἶναι ἢ φύσεως ἔργον· φύσεως δὲ ἔργον εἴ τις φοβεῖται, παιδίον ἐστί· τοῦτο μέντοι οὐ μόνον φύσεως ἔργον ἐστίν, ἀλλὰ καὶ συμφέρον αὐτῇ. πῶς ἅπτεται θεοῦ ἄνθρωπος καὶ κατὰ τί ἑαυτοῦ μέρος καὶ ὅταν πῶς [ἔχῃ] διακέηται τὸ τοῦ ἀνθρώπου τοῦτο μόριον.

13 Οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπεριερχομένου καὶ "τὰ νέρθεν γᾶς (φησὶν) ἐρευνῶντος" καὶ τὰ ἐν ταῖς ψυχαῖς τῶν πλησίον διὰ τεκμάρσεως ζητοῦντος, μὴ αἰσθομένου δέ, ὅτι ἀρκεῖ πρὸς μόνῳ τῷ ἔνδον ἑαυτοῦ δαίμονι εἶναι καὶ τοῦτον γνησίως θεραπεύειν. θεραπεία δὲ αὐτοῦ, καθαρὸν πάθους διατηρεῖν καὶ εἰκαιότητος καὶ δυσαρεστήσεως τῆς πρὸς τὰ ἐκ θεῶν καὶ ἀνθρώπων γινόμενα. τὰ μὲν γὰρ ἐκ θεῶν αἰδέσιμα δι' ἀρετήν· τὰ δὲ ἐξ ἀνθρώπων φίλα διὰ συγγένειαν, ἔστι δὲ ὅτε καὶ τρόπον τινὰ ἐλεεινὰ δι' ἄγνοιαν ἀγαθῶν

3 incipit 346 r αἱ 4 Suid. ἀποθανεῖν: ἐάν τις αὐτὸ μόνον εἰδῇ . . . φύσεως ἔργον· φύσεως δὲ ἔργον εἴ τις φοβεῖται παιδίον ἐστί· τοῦτο . . . καὶ συμφέρον αὐτῇ· πῶς . . ἑαυτοῦ μέρος; 7 παιδίον ἐστί cf. xi. 23 *Test.* 8 μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ Pl. *Phd.* 67 b 11 ἡ δὲ διάνοια . . . ἀτιμάσασα, πανταχῇ φέρεται κατὰ *Πίνδαρον* (*Fr.* 292 (236) Bergk) τά τε γᾶς ὑπένερθε καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνωμένη τῶν ὄντων Pl. *Tht.* 173 e; τῷ γὰρ ὄντι τὸν τοιοῦτον ὁ μὲν πλησίον καὶ ὁ γείτων λέληθεν ibid. 174 b; τὰ τῆς γῆς νέρθεν καὶ τὰ ὕπερθε τοῦ οὐρανοῦ κατὰ *Πίνδαρον* ἐπισκοπεῖ Galen, i. 2 14 Suid. δαίμων: οὐδὲν ἀθλιώτερον . . . περιερχομένου καὶ τὰ νέρθε γῆς, φησίν, ἐρευνῶντος, . . . πλησίον (v.l. πλησίων) διὰ τεκμάρσεων (v.l. ως) ζητοῦντος, μὴ αἰσθανομένου, ὅτι ἀρκεῖ . . . δαίμονι (v.l. δαίμονα) εἶναι καὶ τοῦτον (v.l. τοῦτο) . . . ἐκ θεοῦ καὶ ἀνθρώπων γίνομενα. τὰ μὲν γὰρ ἐκ θεοῦ καὶ ἀνθρώπων φίλια διὰ συγγένειαν, ἔστι δὲ ὅτε καὶ τρόπον τινὰ (ἐλεεινὰ om.) δι' ἄγνοιαν ἀγαθῶν καὶ κακῶν· (οὐκ om.) ἐλάττων ἡ πώρωσις (v.l. πάρωσις) αὕτη τῆς στερισκούσης (τοῦ διακρίνειν τά om.) λευκὰ καὶ μέλανα 15 Suid. εἰκαῖον: θεραπεία δὲ τοῦ ἐν ἑκάστῳ ἡμῶν δαίμονος, τοῦτον καθαρὸν παθοῦς (v.l. πάθει) . . . δυσαρεστήσεως (v.l. δυσαριστήσεως) . . . τὰ ἐκ θεοῦ καὶ ἀνθρώπων γίνομενα (v.l. τὴν . . . γινομένην) cf. ii. 17. 2 *Test.* Pl. *Ti.* 90 c

1–18 D, 1–2 C, 11–12 Mo 1 2 νεκρά. νοερᾶς δυν. ἐφ. P 2 ἐστιν A 3–4 ⟨καὶ . . . παρέχουσι⟩ supplevi 4 εἰδῇ P 5 ἐμφανιζόμενα A D 7 μόνον om. D 8 ἐστίν om. D 9 αὐτοῦ P ἔχῃ secl. Schultz: ὅταν τις ἔχῃ διακαίηται A: ὅταν ἔχῃ τὸ τοῦ ἀ. μόριον διάκειται D: πῶς ὅταν ἔχῃ Holst. 10 τοῦτο om. A D 11 ἐμπεριεχομένου C: περιερχομένου D 11–12 τέ νερθε A: τὰ νέρθε D 12 πλησίων A 13 τεκμάρσεων A D αἰσθανομένου C 17 διὰ τὴν ἀρετήν A D

καὶ κακῶν· οὐκ ἐλάττων ἡ πήρωσις αὕτη τῆς στερισκούσης τοῦ διακρίνειν τὰ λευκὰ καὶ μέλανα.

14 Κἂν τρὶς χίλια ἔτη βιώσεσθαι μέλλῃς, καὶ τοσαυτάκις μύρια, ὅμως μέμνησο ὅτι οὐδεὶς ἄλλον ἀποβάλλει βίον ἢ τοῦτον ὃν ζῇ, οὐδὲ ἄλλον ζῇ ἢ ὃν ἀποβάλλει. εἰς ταὐτὸν οὖν καθίσταται τὸ μήκιστον τῷ βραχυτάτῳ. τὸ γὰρ παρὸν πᾶσιν ἴσον καὶ τὸ ἀπολλύμενον οὖν ἴσον καὶ τὸ ἀποβαλλόμενον οὕτως ἀκαριαῖον ἀναφαίνεται. οὔτε γὰρ τὸ παρῳχηκὸς οὔτε τὸ μέλλον ἀποβάλοι ἄν τις· 2 ὃ γὰρ οὐκ ἔχει, πῶς ἄν τις τοῦτο αὐτοῦ ἀφέλοιτο; τούτων οὖν τῶν δύο ἀεὶ μεμνῆσθαι· ἑνὸς μέν, ὅτι πάντα ἐξ ἀιδίου ὁμοειδῆ καὶ ἀνακυκλούμενα καὶ οὐδὲν διαφέρει, πότερον ἐν ἑκατὸν ἔτεσιν ἢ ἐν διακοσίοις ἢ ἐν τῷ ἀπείρῳ χρόνῳ τὰ αὐτά τις ὄψεται· ἑτέρου δέ, ὅτι καὶ ὁ πολυχρονιώτατος καὶ ὁ τάχιστα τεθνηξόμενος τὸ ἴσον ἀποβάλλει. τὸ γὰρ παρόν ἐστι μόνον οὗ στερίσκεσθαι μέλλει, εἴπερ γε ἔχει καὶ τοῦτο μόνον καὶ ὃ μὴ ἔχει τις οὐκ ἀποβάλλει.

15 Ὅτι πᾶν ὑπόληψις. δῆλα μὲν γὰρ τὰ πρὸς τὸν Κυνικὸν Μόνιμον λεγόμενα· | δῆλον δὲ καὶ τὸ χρήσιμον τοῦ λεγομένου, ἐάν τις αὐτοῦ τὸ νόστιμον μέχρι τοῦ ἀληθοῦς δέχηται.

16 Ὑβρίζει ἑαυτὴν ἡ τοῦ ἀνθρώπου ψυχὴ μάλιστα μέν, ὅταν ἀπόστημα

---

2 οὐ τὴν ὄψιν τὴν διακριτικὴν τῶν λευκῶν καὶ μελάνων, ἀλλὰ τὴν γνώμην τὴν διακριτικὴν τῶν ἀγαθῶν καὶ τῶν κακῶν μὴ ἀπολλύναι; Epict. i. 18. 6 7 Suid. ἀκέραιον: ἐκ τῆς Μάρκου Ἀντωνίνου συγγραφῆς· κἂν τρισχίλια . . . ὃν ζῇ ἢ ἄλλον ζῇ ἢ ὃν ἂν (ἢ ὄν, ὃν v.l.) ἀποβάλλῃ (v.l. ἀποβάλλει). εἰς ταὐτὸν οὖν . . . οὐκ ἴσον καὶ . . . ἀκαριαῖον ἀναφαίνεται. οὔτε . . . ἀφέλοιτο; 17 incipit 346 v δῆλον

12 ταὐτά, κἂν ἑκατὸν ἔτη βιῷς, ἀεὶ
ὄψει παρόντα, κἂν ἐνιαυτοὺς σφόδρ' ὀλίγους,
σεμνότερα τούτων ἕτερα δ' οὐκ ὄψει ποτέ Menander, *Fr.* 481 K.

16 " Μόνιμός τις ἦν ἄνθρωπος, ὦ Φίλων, σόφος,
ἀδοξότερος μακρῷ δ'· " " ὁ τὴν πήραν ἔχων; "
. . . . . .
"τὸ γὰρ ὑποληφθὲν τῦφον εἶναι πᾶν ἔφη." Menander, *Fr.* 249 K.
τῦφον τὰ πάντα, ὅπερ οἰησίς ἐστι τῶν οὐκ ὄντων ὡς ὄντων Monimus ap. *S. Emp. Math.* viii. 5

1–19 D, 1–9 C 1 πόρωσις A D: πείρωσις Cπ τὸ διακρ. A D τὰ om. A D μέλαινα P 3 κἂν τοσ. Rich. 4 τοῦτο P corr. Bas. 5 ἀποβαλεῖ Cor. τοῦτο P (idem) corr. Bas. 6 εἰ καὶ P 7 οὐκ ἴσον corr. Gat.: οὐκ ἴδιον Sch. ἀκέραιον A D 8 οὐτ' ἄρα mavult Sch. ἀποβάλλοι P A Cνπ 9 τοῦτό τις A D 10 ἀεὶ scripsi: δεῖ P: ἂν A D 11 μηδὲν διαφέρειν A D 14 ὅπερ γε P (quando) 16–18 δῆλα . . . δέχηται om. D 16 πάνθ' ὑ. Lofft πρὸς τοῦ Κυνικοῦ Μονίμου Menag.

καὶ οἷον φῦμα τοῦ κόσμου, ὅσον ἐφ' ἑαυτῇ, γένηται· τὸ γὰρ δυσχεραίνειν τινὶ τῶν γινομένων ἀπόστασίς ἐστι τῆς φύσεως, ⟨ὑφ'⟩ ἧς ἐν μέρει ἑκάσται τῶν λοιπῶν φύσεις περιέχονται. ἔπειτα δέ, ὅταν ἄνθρωπόν τινα ἀποστραφῇ ἢ καὶ ἐναντία φέρηται ὡς βλάψουσα, οἷαί εἰσιν αἱ τῶν ὀργιζομένων. τρίτον ὑβρίζει ἑαυτήν, ὅταν ἡσσᾶται ἡδονῆς ἢ πόνου. τέταρτον, ὅταν ὑποκρίνηται καὶ ἐπιπλάστως καὶ ἀναλήθως τι ποιῇ ἢ λέγῃ. πέμπτον, ὅταν πρᾶξίν τινα ἑαυτῆς καὶ ὁρμὴν ἐπ' οὐδένα σκοπὸν ἀφιῇ, ἀλλ' εἰκῇ καὶ ἀπαρακολουθήτως ὁτιοῦν ἐνεργῇ, δέον καὶ τὰ μικρότατα κατὰ τὴν ἐπὶ τὸ τέλος ἀναφορὰν γίνεσθαι· τέλος δὲ λογικῶν ζῴων τὸ ἕπεσθαι τῷ τῆς πόλεως καὶ πολιτείας τῆς πρεσβυτάτης λόγῳ καὶ θεσμῷ.

17 Τοῦ ἀνθρωπίνου βίου ὁ μὲν χρόνος στιγμή, ἡ δὲ οὐσία ῥέουσα, ἡ δὲ αἴσθησις ἀμυδρά, ἡ δὲ ὅλου τοῦ σώματος σύγκρισις εὔσηπτος, ἡ δὲ ψυχὴ ῥόμβος, ἡ δὲ τύχη δυστέκμαρτον, ἡ δὲ φήμη ἄκριτον· συνελόντι δὲ εἰπεῖν, πάντα τὰ μὲν τοῦ σώματος ποταμός, τὰ δὲ τῆς ψυχῆς ὄνειρος καὶ τῦφος, ὁ δὲ βίος πόλεμος καὶ ξένου ἐπιδημία,
2 ἡ δὲ ὑστεροφημία λήθη. τί οὖν τὸ παραπέμψαι δυνάμενον; ἓν καὶ μόνον φιλοσοφία· τοῦτο δὲ ἐν τῷ τηρεῖν τὸν ἔνδον δαίμονα ἀνύβριστον καὶ ἀσινῆ, ἡδονῶν καὶ πόνων κρείττονα, μηδὲν εἰκῇ ποιοῦντα μηδὲ διεψευσμένως καὶ μεθ' ὑποκρίσεως, ἀνενδεῆ τοῦ ἄλλον ποιῆσαί τι ἢ μὴ ποιῆσαι· ἔτι δὲ τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα δεχόμενον ὡς ἐκεῖθέν ποθεν ἐρχόμενα, ὅθεν αὐτὸς ἦλθεν· ἐπὶ πᾶσι δὲ τὸν θάνατον ἵλεῳ τῇ γνώμῃ περιμένοντα ὡς οὐδὲν ἄλλο ἢ λύσιν τῶν στοιχείων, ἐξ ὧν ἕκαστον ζῷον συγκρίνεται. εἰ δὲ αὐτοῖς τοῖς στοιχείοις μηδὲν δεινὸν ἐν τῷ ἕκαστον διηνεκῶς εἰς ἕτερον μεταβάλλειν, διὰ τί ὑπίδηταί τις τὴν πάντων μεταβολὴν καὶ διάλυσιν; | κατὰ φύσιν γάρ· οὐδὲν δὲ κακὸν κατὰ φύσιν.

18 ἅτε δὲ ἀεὶ θεραπεύοντα τὸ θεῖον ἔχοντά τε αὐτὸν εὖ κεκοσμημένον τὸν δαίμονα σύνοικον ἑαυτῷ, διαφερόντως εὐδαίμονα εἶναι. θεραπεία δὲ κτλ. Pl. *Ti.* 90 c 26 incipit 347 r κατὰ

1–27 D, 12–21 C, 10–14, 22–7 Mo. 1 1 ἑαυτῇ D man. sec: ἑαυτῷ P A D 2 ⟨ὑφ'⟩ inserui: ἧς ἑνώσει Rend. 3 ἑκάστου P A D: ἕκαστα D man. sec.: ἕκασται scripsi (reliquae Xyl.): ⟨αἱ⟩ ἑκάστου Cor. 5 ἡσᾶται A 7 ἢ τί λέγῃ A D 9 ἐπί τι τέλος Cor. 12 ὁ μὲν χρόνος, ἡ δὲ ὅλου τοῦ σ. cett. om. A: ὁ μὲν χρόνος βραχύς, ἡ δὲ ὅλου τοῦ σ. cett. om. D 13 ὅσου Cν 14 ῥομβὸς P, P cod. adscripto ῥεμβὸς: ῥεμβὸς A D C Mo 1 ἡ δὲ ψυχὴ δυστ. A: ἡ δὲ ψυχὴ δυστ., ἡ δὲ τύχη ῥόμβος Schultz τυχὴ ἄκριτον Cν 17 ἡ ὑστ. δὲ P τὸ om. C 19 κρείσσονα correxi 20 ἄλλο D 21 ὅτι δὲ A 23 ὡς D Bas.: εἰς οὐδὲν P A Mo 1 (quippe) ἡ λύσις A D: ἢ D man. sec.

Τὰ ἐν Καρνούντῳ

ΒΙΒΛΙΟΝ Γ

1 Οὐχὶ τοῦτο μόνον δεῖ λογίζεσθαι, ὅτι καθ' ἑκάστην ἡμέραν ἀπαναλίσκεται ὁ βίος καὶ μέρος ἔλαττον αὐτοῦ καταλείπεται, ἀλλὰ κἀκεῖνο λογιστέον, ὅτι, εἰ ἐπὶ πλέον βιώῃ τις, ἐκεῖνό γε ἄδηλον, εἰ ἐξαρκέσει ὁμοία αὖθις ἡ διάνοια πρὸς τὴν σύνεσιν τῶν πραγμάτων καὶ τῆς θεωρίας τῆς συντεινούσης εἰς τὴν ἐμπειρίαν τῶν τε θείων καὶ τῶν ἀνθρωπείων. ἐὰν γὰρ παραληρεῖν ἄρξηται, τὸ μὲν διαπνεῖσθαι καὶ τρέφεσθαι καὶ φαντάζεσθαι καὶ ὁρμᾶν καὶ ὅσα ἄλλα τοιαῦτα, οὐκ ἐνδεήσει· τὸ δὲ ἑαυτῷ χρῆσθαι καὶ τοὺς τοῦ καθήκοντος ἀριθμοὺς ἀκριβοῦν καὶ τὰ προφαινόμενα διαρθροῦν καὶ περὶ αὐτοῦ τοῦ εἰ ἤδη ἐξακτέον αὐτὸν ἐφιστάνειν καὶ ὅσα τοιαῦτα λογισμοῦ συγγεγυμνασμένου πάνυ χρῄζει, προαποσβέννυται. χρὴ οὖν ἐπείγεσθαι οὐ μόνον τῷ ἐγγυτέρῳ τοῦ θανάτου ἑκάστοτε γίνεσθαι, ἀλλὰ καὶ διὰ τὸ τὴν ἐννόησιν τῶν πραγμάτων καὶ τὴν παρακολούθησιν προαπολήγειν.

2 Χρὴ καὶ τὰ τοιαῦτα παραφυλάσσειν, ὅτι καὶ τὰ ἐπιγινόμενα τοῖς φύσει γινομένοις ἔχει τι εὔχαρι καὶ ἐπαγωγόν. οἷον ἄρτου ὀπτωμένου παραρρήγνυταί τινα μέρη· καὶ ταῦτα οὖν τὰ διέχοντα οὕτως καὶ τρόπον τινὰ παρὰ τὸ ἐπάγγελμα τῆς ἀρτοποιίας ἔχοντα ἐπιπρέπει πως καὶ προθυμίαν πρὸς τὴν τροφὴν ἰδίως ἀνακινεῖ. πάλιν τε τὰ σῦκα, ὁπότε ὡραιότατά ἐστι, κέχηνεν· καὶ ἐν ταῖς δρυπεπέσιν ἐλαίαις αὐτὸ τὸ ἐγγὺς τῇ σήψει ἴδιόν τι κάλλος τῷ καρπῷ προστίθησιν. καὶ οἱ στάχυες δὲ κάτω νεύοντες καὶ τὸ τοῦ λέοντος ἐπισκύνιον καὶ ὁ τῶν συῶν ἐκ τοῦ στόματος ῥέων ἀφρὸς καὶ πολλὰ ἕτερα, κατ'

---

9 κατόρθωμα εἶναι λέγουσι καθῆκον πάντας ἐπέχον τοὺς ἀριθμούς Stob. *Ecl.* ii. p. 93 quae . . . appellant κατορθώματα omnes numeros virtutis continent Cic. *Fin.* iii. 24

22 ὣδέ κεν ἀδροσύνῃ στάχυες νεύοιεν ἔραζε
εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι Hes. *Op.* 473

22 πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὅσσε καλύπτων Hom. *Il.* 17. 136

Superscriptio P: om. cett: intervallum duorum versuum habet A 1–23 D, 1–5 C, 1–6 Mo 1 4 ὁμοία αὐτῇ Menag. 5 τὴν θεωρίαν τὴν συντείνουσαν Reiske 6–7 διυπνεῖσθαι A: δειπνεῖσθαι D 8 αὐτῷ A: αὑτῷ D 10 αὐτὸν A 13 ἀλλὰ διὰ τὴν A: τὸ τὴν D, man. sec. addidit καὶ 18 ἐπιτρέπει A 19 ἡδέως Menag. πάλιν δὲ Reiske 20 δρυπέπισιν P cod. adscripto δριπετέσιν, quod est in P D: δρυπέπεσιν A Bas. 22 καὶ om. P: δὲ om. A D

ἰδίαν εἴ τις σκοποίη, πόρρω ὄντα τοῦ εὐειδοῦς ὅμως διὰ τὸ τοῖς
3 φύσει γινομένοις ἐπακολουθεῖν συνεπικοσμεῖ καὶ ψυχαγωγεῖ· ὥστε,
εἴ τις ἔχει πάθος | καὶ ἔννοιαν βαθυτέραν πρὸς τὰ ἐν τῷ ὅλῳ
γινόμενα, σχεδὸν οὐδὲν οὐχὶ δόξει αὐτῷ καὶ τῶν κατ' ἐπακολούθησιν
συμβαινόντων ἡδέως πως διασυνίστασθαι. οὗτος δὲ καὶ θηρίων 5
ἀληθῆ χάσματα οὐχ ἧσσον ἡδέως ὄψεται ἢ ὅσα γραφεῖς καὶ πλάσται
μιμούμενοι δεικνύουσιν, καὶ γραὸς καὶ γέροντος ἀκμήν τινα καὶ
ὥραν . . . καὶ τὸ ἐν παισὶν ἐπαφρόδιτον τοῖς ἑαυτοῦ, σώφροσιν
ὀφθαλμοῖς ὁρᾶν δυνήσεται· καὶ πολλὰ τοιαῦτα οὐ παντὶ πιθανά,
μόνῳ δὲ τῷ πρὸς τὴν φύσιν καὶ τὰ ταύτης ἔργα γνησίως ᾠκειωμένῳ 10
προσπεσεῖται.

3 Ἱπποκράτης πολλὰς νόσους ἰασάμενος αὐτὸς νοσήσας ἀπέθανεν.
οἱ Χαλδαῖοι πολλῶν θανάτους προηγόρευσαν, εἶτα καὶ αὐτοὺς τὸ
πεπρωμένον κατέλαβεν. Ἀλέξανδρος καὶ Πομπήιος καὶ Γάιος
Καῖσαρ, ὅλας πόλεις ἄρδην τοσαυτάκις ἀνελόντες καὶ ἐν παρατάξει 15
πολλὰς μυριάδας ἱππέων καὶ πεζῶν κατακόψαντες, καί αὐτοί ποτε
ἐξῆλθον τοῦ βίου. Ἡράκλειτος περὶ τῆς τοῦ κόσμου ἐκπυρώσεως
τοσαῦτα φυσιολογήσας, ὕδατος τὰ ἐντὸς πληρωθείς, βολβίτῳ κατα-
κεχρισμένος ἀπέθανεν. Δημόκριτον δὲ οἱ φθεῖρες, Σωκράτην δὲ
ἄλλοι φθεῖρες ἀπέκτειναν. τί ταῦτα; ἐνέβης, ἔπλευσας, κατήχθης· 20
ἔκβηθι. εἰ μὲν ἐφ' ἕτερον βίον, οὐδὲν θεῶν κενὸν οὐδὲ ἐκεῖ· εἰ
δὲ ἐν ἀναισθησίᾳ, παύσῃ πόνων καὶ ἡδονῶν ἀνεχόμενος καὶ λατρεύων

1 Suid. εὐειδής: ὁ κατὰ θεωρίαν καλός 3 incipit 347 V καὶ 6 ἂν εἴη ἄτοπον εἰ τὰς μὲν εἰκόνας αὐτῶν θεωροῦντες χαίρομεν ὅτι τὴν δημιουργήσασαν τέχνην συνθεωροῦμεν, οἷον τὴν γραφικὴν ἢ τὴν πλαστικήν, αὐτῶν δὲ τῶν φύσει συνεστώτων μὴ μᾶλλον ἀγαπῶμεν τὴν θεωρίαν, δυνάμενοί γε τὰς αἰτίας καθορᾶν Arist. *P. An.* 645ª11 17 γεννᾶσθαί τε αὐτὸν ἐκ πυρὸς καὶ πάλιν ἐκπυροῦσθαι κατά τινας περιόδους ἐναλλὰξ τὸν σύμπαντα αἰῶνα D.L. ix. 8 19 Democritum cum Pherecyde confundi Xyl. notat; cf. D.L. i. 118, vide No. 71 Pherekydes von Syros, Diels, *Vorsokr.* 21 τὸν κόσμον ἔμψυχον καὶ δαιμόνων πλήρη Thales, D.L. i. 27; πάντα πλήρη θεῶν εἶναι Thales, Arist. *De An.* 411ª8; similia de Heraclito D.L. ix. 7; cf. Epict. iii. 13. 15; Cic. *Lg.* ii. 26 22 πάλιν τέ πού φησι (Hom. *Il.* xi. 241) τὸν θάνατον εἶναι χάλκεον ὕπνον, τὴν ἀναισθησίαν ἡμᾶς διδάξαι πειρώμενος Plu. *Cons. ad Ap.* 107 e τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ Epicur. *Sent. Vat.* ii; D.L. x. 139

1–22 D, 12–22 C 3 ἔχοι P βάθος [καὶ ἔννοιαν βαθυτέραν] Morus 5 συνδιανίστασθαι D: καὶ συνίστασθαι Cor.: ἰδίᾳ συν. Lofft οὕτως P 8 post ὥραν lacunam indicavi ἐν πᾶσιν Cas. τοῖς αὐτοῖς σ. Polak 11 προπεσεῖται corr. Gat. Cas. 12 αὐτὸς om. P C (sed ipse): ⟨καὶ⟩ αὐτὸς Cor. 13 θανάτων A 15 καὶ Καῖσαρ C 19 Δ. μὲν C 22 ἐπ' ἀναισθησίαν fort. March. πάσῃ Cv

τοσούτῳ χείρονι τῷ ἀγγείῳ ὅσῳ περίεστι τὸ ὑπηρετοῦν· τὸ μὲν γὰρ νοῦς καὶ δαίμων, τὸ δὲ γῆ καὶ λύθρος.

4 Μὴ κατατρύψῃς τὸ ὑπολειπόμενον τοῦ βίου μέρος ἐν ταῖς περὶ ἑτέρων φαντασίαις, ὁπόταν μὴ τὴν ἀναφορὰν ἐπί τι κοινωφελὲς ποιῇ· τί γὰρ ἄλλου ἔργου στέρῃ . . . ., τουτέστι φανταζόμενος τί ὁ δεῖνα πράσσει καὶ τίνος ἕνεκεν καὶ τί λέγει καὶ τί ἐνθυμεῖται καὶ τί τεχνάζεται καὶ ὅσα τοιαῦτα ποιεῖ ἀπορρέμβεσθαι τῆς τοῦ ἰδίου 2 ἡγεμονικοῦ παρατηρήσεως. χρὴ μὲν οὖν | καὶ τὸ εἰκῇ καὶ μάτην ἐν τῷ εἱρμῷ τῶν φαντασιῶν περιίστασθαι, πολὺ δὲ μάλιστα τὸ περίεργον καὶ κακόηθες, καὶ ἐθιστέον ἑαυτὸν μόνα φαντάζεσθαι, περὶ ὧν εἴ τις ἄφνω ἐπανέροιτο· τί νῦν διανοῇ;, μετὰ παρρησίας παραχρῆμα ἂν ἀποκρίναιο ὅτι τὸ καὶ τό· ὡς ἐξ αὐτῶν εὐθὺς δῆλα εἶναι ὅτι πάντα ἁπλᾶ καὶ εὐμενῆ καὶ ζῴου κοινωνικοῦ καὶ ἀμελοῦντος ἡδονικῶν ἢ καθάπαξ ἀπολαυστικῶν φαντασμάτων ἢ φιλονεικίας τινὸς ἢ βασκανίας καὶ ὑποψίας ἢ ἄλλου τινός ἐφ' ᾧ ἂν ἐρυθριάσειας 3 ἐξηγούμενος, ὅτι ἐν νῷ αὐτὸ εἶχες. ὁ γάρ τοι ἀνὴρ ὁ τοιοῦτος, οὐκ ἔτι ὑπερτιθέμενος τὸ ὡς ἐν ἀρίστοις ἤδη εἶναι, ἱερεύς τίς ἐστι καὶ ὑπουργὸς θεῶν, χρώμενος καὶ τῷ ἔνδον ἱδρυμένῳ αὐτοῦ, ὃ παρέχεται τὸν ἄνθρωπον ἄχραντον ἡδονῶν, ἄτρωτον ὑπὸ παντὸς πόνου, πάσης ὕβρεως ἀνέπαφον, πάσης ἀναίσθητον πονηρίας, ἀθλητὴν ἄθλου τοῦ μεγίστου, τοῦ ὑπὸ μηδενὸς πάθους καταβληθῆναι, δικαιοσύνῃ βεβαμμένον εἰς βάθος, ἀσπαζόμενον μὲν ἐξ ὅλης τῆς ψυχῆς τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα πάντα, μὴ πολλάκις δὲ μηδὲ χωρὶς μεγάλης καὶ κοινωφελοῦς ἀνάγκης φανταζόμενον τί ποτε ἄλλος λέγει ἢ πράσσει

8 incipit 348 r καὶ 20 ἀθληταὶ μὲν γὰρ οἱ ἄνδρες τοῦ μεγίστου ἀγῶνος Pl. *R.* 403 e; ἀθλητὰς τῶν μεγίστων ἀγώνων id. *Lg.* 829 e 21 οὐκ ἄχρι τοῦ ἐπικεχρῶσθαι μόνον, ἀλλ' ἐς βάθος δευσοποιοῖς τισι φαρμάκοις ἐς κόρον καταβαφεῖσα Luc. *Im.* 16

1–24 D, 10–24 C 1 ἤ περ ἐστὶ D Holst.: ἤ περίεστι P A C: corr. Cas. 3 κατακρίψῃς A ὑπολιπόμενον P A 5 ἤτοι γὰρ P A: ἤτοι . . . στέρῃ om. D: ἤδη γὰρ ἄ. Boot.: τί γὰρ ἄ. ἐ. σ. οὕτως ἔτι φ. Rend.: post στέρῃ lacunam indicavi 7 ποιεῖ om. A D ἀπορέμβ. A τοῦ om. A 12 ἀποκρίναο P corr. Bas. αὐτῶς A: αὐτῆς D: ἐξαυτῆς Sch. 14 εἰ καθ. A D 15–16 ἤ . . . ἐξηγούμενος om. Cνπ 16 ἐν ᾧ αὐτὸ A C π ὁ γὰρ τοιοῦτος ἀνὴρ Cor. 17 ὡς om. C, secl. Menag.: ὡς ἕνι ἄριστος Rich. ἐστι om. P A C 18 χρ. καλῶς τῷ Polak: χρ. κυρίῳ τῷ Kron. αὐτῶ A C: αὐτῷ D 19 ⟨πασῶν⟩ ἡδονῶν Schultz² ἄτρυτον Valck. 21 τῷ ὑ. A D: τὸ ὑ. C βεβλαμμένον A D Cπ 22 πάθος A D τῆς om. C 23 ὑπονεμόμενον C 24 φανταζομένου A: idem in D adscriptum ἤ τί πράσσει C

ἢ διανοεῖται. μόνα γὰρ τὰ ἑαυτοῦ πρὸς ἐνέργειαν † ἔχει καὶ τὰ ἑαυτῷ ἐκ τῶν ὅλων συγκλωθόμενα διηνεκῶς ἐννοεῖ κἀκεῖνα μὲν καλὰ παρέχεται, ταῦτα δὲ ἀγαθὰ εἶναι πέπεισται· ἡ γὰρ ἑκάστῳ
4 νεμομένη μοῖρα συνεμφέρεταί τε καὶ συνεμφέρει. μέμνηται δὲ καὶ ὅτι συγγενὲς πᾶν τὸ λογικόν, καὶ ὅτι κήδεσθαι μὲν πάντων ἀνθρώπων 5
κατὰ τὴν τοῦ ἀνθρώπου φύσιν ἐστί, δόξης δὲ οὐχὶ τῆς παρὰ πάντων ἀνθεκτέον, ἀλλὰ τῶν ὁμολογουμένως τῇ φύσει βιούντων μόνων. οἱ δὲ μὴ οὕτως βιοῦντες ὁποῖοί τινες οἴκοι τε καὶ ἔξω τῆς οἰκίας καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, οἷοι μεθ' οἵων φύρονται, μεμνημένος | διατελεῖ. οὐ τοίνυν οὐδὲ τὸν παρὰ τῶν τοιούτων 10
ἔπαινον ἐν λόγῳ τίθεται, οἵγε οὐδὲ αὐτοὶ ἑαυτοῖς ἀρέσκονται.

5 Μήτε ἀκούσιος ἐνέργει μήτε ἀκοινώνητος μήτε ἀνεξέταστος μήτε ἀνθελκόμενος· μήτε κομψεία τὴν διάνοιάν σου καλλωπιζέτω· μήτε πολυρρήμων μήτε πολυπράγμων ἔσο. ἔτι δὲ ὁ ἐν σοὶ θεὸς ἔστω προστάτης ζῴου ἄρρενος καὶ πρεσβύτου καὶ πολιτικοῦ καὶ Ῥωμαίου 15
καὶ ἄρχοντος, ἀνατεταχότος ἑαυτόν, οἷος ἂν εἴη τις περιμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος μήτε ἀνθρώπου τινὸς μάρτυρος. ἐνέστω δὲ τὸ φαιδρὸν καὶ τὸ ἀπροσδεὲς τῆς ἔξωθεν ὑπηρεσίας καὶ τὸ ἀπροσδεὲς ἡσυχίας, ἣν ἄλλοι παρ-
ἔχουσιν. ὀρθὸν οὖν εἶναι χρή, οὐχὶ ὀρθούμενον. 20

6 Εἰ μὲν κρεῖττον εὑρίσκεις ἐν τῷ ἀνθρωπίνῳ βίῳ δικαιοσύνης, ἀληθείας, σωφροσύνης, ἀνδρείας καὶ καθάπαξ τοῦ ἀρκεῖσθαι ἑαυτῇ τὴν διάνοιάν σου, ἐν οἷς κατὰ τὸν λόγον τὸν ὀρθὸν πράσσοντά σε παρέχεται, καὶ [ἐν] τῇ εἱμαρμένῃ ἐν τοῖς ἀπροαιρέτως ἀπονεμομένοις·

10 incipit 348 v διατελεῖ 14 ἀλλ' ὁ θεὸς ἔνδον ἐστὶ καὶ ὁ ὑμέτερος δαίμων ἐστίν Epict. i. 14. 14 17 Suid. ἀνακλητικόν: καὶ Μάρκος Ἀντωνῖνός φησιν· ἔσο ἀναμένων τὸ ἀνακλητικὸν . . . μάρτυρος id. εὔλυτος: M. Ἀντ. φησιν· ἔσο . . . μάρτυρος 20 id. ὀρθός: Μάρκος· ὀρθὸν δὲ (v.l. δεῖ) εἶναι καὶ μὴ ὀρθούμενον

1–24 D, 1 4, 16–18, 20 C 1 μόνον γὰρ εἶναι ἑαυτοῦ C πρὸς τὰ ἑαυτοῦ ἐνεργ. fort. ἔξει A D C ' expectes ἐξεγείρει vel ἐξάγει ' Sch. 3 πεπεῖσθαι A D εἰ γὰρ A 4 συνεμφέρεταί τι D 5 πᾶν τῶν A 7 ἀνθετέον A 8 μόνον P 9 φύρωνται P corr. Bas. 10 οὕτοι νῦν A D τῶν om. A D 11 οἵγε . . . ἀρέσκονται om. D 14 πολυρήμων A 16 ἀνατετακότος Reiske τοιοῦτος ἔσο οἷος παραμένων C 17 εὐλύτως Cat. 18 ἐνέστω δὲ Cat.: ἔτι δὲ τὸ φ. ἔστω Morus: ἓν δὲ Schm.: ἓν δὲ P: ἓν δὲ A D τὸ φαινόμενον A D 19 τῆς om. A D pro ἀπροσδεὲς an leg. ἀνενδεὲς τῆς? ἣν A 21 ⟨τι⟩ κρεῖττον Cor. 22 ἀνδρίας P D ἑαυτὴν A: αὐτὴν D 23 ἐν om. A D 24 παρέχηται A ἐν del. Gat.

εἰ τούτου, φημί, κρεῖττόν τι ὁρᾷς, ἐπ' ἐκεῖνο ἐξ ὅλης τῆς ψυχῆς
2 τραπόμενος τοῦ ἀρίστου εὑρισκομένου ἀπόλαυε. εἰ δὲ μηδὲν κρεῖττον
φαίνεται αὐτοῦ τοῦ ἐνιδρυμένου ἐν σοὶ δαίμονος, τάς τε ἰδίας ὁρμὰς
ὑποτεταχότος ἑαυτῷ καὶ τὰς φαντασίας ἐξετάζοντος καὶ τῶν
αἰσθητικῶν πείσεων, ὡς ὁ Σωκράτης ἔλεγεν, ἑαυτὸν ἀφειλκυκότος
καὶ τοῖς θεοῖς ὑποτεταχότος ἑαυτὸν καὶ τῶν ἀνθρώπων προκηδο-
μένου· εἰ τούτου πάντα τὰ ἄλλα μικρότερα καὶ εὐτελέστερα εὑρίσκεις,
μηδενὶ χώραν δίδου ἑτέρῳ, πρὸς ὃ ῥέψας ἅπαξ καὶ ἀποκλίνας οὐκέτι
ἀπερισπάστως τὸ ἀγαθὸν ἐκεῖνο, τὸ ἴδιον καὶ τὸ σόν, προτιμᾶν
3 δυνήσῃ. ἀντικαθῆσθαι γὰρ τῷ λογικῷ καὶ πολιτικῷ ἀγαθῷ οὐ
θέμις οὐδ' ὁτιοῦν ἑτερογενές, οἷον τὸν παρὰ τῶν πολλῶν | ἔπαινον
ἢ ἀρχὰς ἢ πλοῦτον ἢ ἀπολαύσεις ἡδονῶν· πάντα ταῦτα, κἂν πρὸς
ὀλίγον ἐναρμόζειν δόξῃ, κατεκράτησεν ἄφνω καὶ παρήνεγκεν. σὺ
δέ, φημί, ἁπλῶς καὶ ἐλευθέρως ἑλοῦ τὸ κρεῖττον καὶ τούτου ἀντέχου·
" κρεῖττον δὲ τὸ συμφέρον." εἰ μὲν τὸ ὡς λογικῷ, τοῦτο τήρει· εἰ
δὲ τὸ ὡς ζῴῳ, ἀπόφηναι, καὶ ἀτύφως φύλασσε τὴν κρίσιν· μόνον
ὅπως ἀσφαλῶς τὴν ἐξέτασιν ποιήσῃ.

7 Μὴ τιμήσῃς ποτὲ ὡς συμφέρον σεαυτοῦ, ὃ ἀναγκάσει σέ ποτε
τὴν πίστιν παραβῆναι, τὴν αἰδῶ ἐγκαταλιπεῖν, μισῆσαί τινα,
ὑποπτεῦσαι, καταράσασθαι, ὑποκρίνασθαι, ἐπιθυμῆσαί τινος τοίχων
καὶ παραπετασμάτων δεομένου. ὁ γὰρ τὸν ἑαυτοῦ νοῦν καὶ δαίμονα
καὶ τὰ ὄργια τῆς τούτου ἀρετῆς προελόμενος τραγῳδίαν οὐ ποιεῖ,
οὐ στενάζει, οὐκ ἐρημίας, οὐ πολυπληθείας δεήσεται· τὸ μέγιστον,
ζήσει μήτε διώκων μήτε φεύγων, πότερον δὲ ἐπὶ πλέον διάστημα
χρόνου τῷ σώματι περιεχομένῃ τῇ ψυχῇ ἢ ἐπ' ἔλασσον χρήσεται,

5 ὡς γὰρ ὁ Σ. ἔλεγεν ἀνεξέταστον βίον μὴ ζῆν, οὕτως ἀνεξέταστον φαντασίαν μὴ παραδέχεσθαι Epict. iii. 12. 15, cf. i. 26. 18: ὁ δὲ ἀνεξέταστος βίος οὐ βιωτὸς ἀνθρώπῳ Pl. *Ap.* 38 a 11 incipit 349 r ἔπαινον 14 ἑλοῦ βίον τὸν ἄριστον, ἡδὺν δὲ αὐτὸν ἡ συνήθεια ποιήσει (Pythagorea sententia) Plu. *De Tuenda* 123 c, cf. 466 f, 603 c, optima vivendi ratio est eligenda: eam iucundam consuetudo reddet Auct. *ad Herenn.* iv. 17 20 οὐδεμία τῶν τοιούτων ἡδονῶν ἀπόκρυφός ἐστιν, οὐδὲ σκότους δεομένη καὶ τῶν τοίχων περιθεόντων, ὡς αἱ γυναῖκες λέγουσιν Plu. *Conv. Disp.* vii, 5, 705 a

1–17 D 1 τοῦτο A: τούτων D κρεῖσσόν corr. Cor. 2 ἀπόλαβε A 4 ἐξετάζοντας A 5 πείσεως A D ὡς . . . ἔλεγεν post ἐξετάζοντος transponere voluit Gat. 9 τὸ ἴδιον· τὸ σὸν A D: secl. Rend. 10 ἀντικαθίστασθαι (sc. reponere) Corssen ποιητικῷ ἀγαθῷ corr. Gat. 11 τῶν om. P 14 ἐλευθερίως P 16 ἀπόφηνε A D ἄτυφον Gat. φύλασσαι A 18 σεαυτῷ Cor. ἀναγκάση A 22 προσελόμενος A 23 πολυπληθίας A 25 περιεχομένην τὴν ψυχην

οὐδ' ὁτιοῦν αὐτῷ μέλει· κἂν γὰρ ἤδη ἀπαλλάσσεσθαι δέῃ, οὕτως εὔλυτος ἅπεισιν, ὡς ⟨ἂν⟩ ἄλλο τι τῶν αἰδημόνως καὶ κοσμίως ἐνεργεῖσθαι δυναμένων ἐνεργήσειεν, τοῦτο μόνον παρ' ὅλον τὸν βίον εὐλαβούμενος, τὸ τὴν διάνοιαν ἔν τινι ἀνοικείῳ νοεροῦ πολιτικοῦ ζῴου τροπῇ γενέσθαι.

8 Οὐδὲν ἂν ἐν τῇ διανοίᾳ τοῦ κεκολασμένου καὶ ἐκκεκαθαρμένου πυῶδες οὐδὲ μὴν μεμωλυσμένον οὐδὲ ὕπουλον εὕροις· οὐδὲ ἀσυντελῆ τὸν βίον αὐτοῦ ἡ πεπρωμένη καταλαμβάνει, ὡς ἄν τις εἴποι τὸν τραγῳδὸν πρὸ τοῦ τελέσαι καὶ διαδραματίσαι ἀπαλλάσσεσθαι· ἔτι δὲ οὐδὲν δοῦλον οὐδὲ κομψὸν οὐδὲ προσδεδεμένον οὐδὲ ἀπεσχισμένον οὐδὲ ὑπεύθυνον οὐδὲ ἐμφωλεῦον.

9 Τὴν ὑπολη̣πτικὴν δύναμιν σέβε. ἐν ταύτῃ τὸ πᾶν, ἵνα ὑπόληψις τῷ ἡγεμονικῷ σου μηκέτι ἐγγένηται ἀνακόλουθος τῇ φύσει καὶ τῇ τοῦ λογικοῦ ζῴου κατασκευῇ· αὕτη δὲ ἐπαγγέλλεται ἀπροπτωσίαν καὶ τὴν πρὸς ἀνθρώπους οἰκείωσιν καὶ τὴν | τοῖς θεοῖς ἀκολουθίαν.

10 Πάντα οὖν ῥύψας ταῦτα μόνα τὰ ὀλίγα σύνεχε καὶ ἔτι συμμνημόνευε, ὅτι μόνον ζῇ ἕκαστος τὸ παρὸν τοῦτο, τὸ ἀκαριαῖον· τὰ δὲ ἄλλα ἢ βεβίωται ἢ ἐν ἀδήλῳ. μικρὸν μὲν οὖν ὃ ζῇ ἕκαστος· μικρὸν δὲ τὸ τῆς γῆς γωνίδιον ὅπου ζῇ· μικρὸν δὲ καὶ ἡ μηκίστη ὑστεροφημία καὶ αὕτη δὲ κατὰ διαδοχὴν ἀνθρωπαρίων τάχιστα τεθνηξομένων καὶ οὐκ εἰδότων οὐδὲ ἑαυτούς, οὔτι γε τὸν πρόπαλαι τεθνηκότα.

11 Τοῖς δὲ εἰρημένοις παραστήμασιν ἓν ἔτι προσέστω, τὸ ὅρον ἢ ὑπογραφὴν ἀεὶ ποιεῖσθαι τοῦ ὑποπίπτοντος φανταστοῦ, ὥστε αὐτὸ ὁποῖόν ἐστι κατ' οὐσίαν, γυμνόν, ὅλον δι' ὅλων διῃρημένως βλέπειν καὶ τὸ ἴδιον ὄνομα αὐτοῦ καὶ τὰ ὀνόματα ἐκείνων, ἐξ ὧν συνεκρίθη
2 καὶ εἰς ἃ ἀναλυθήσεται, λέγειν παρ' ἑαυτῷ. οὐδὲν γὰρ οὕτως μεγαλοφροσύνης ποιητικόν, ὡς τὸ ἐλέγχειν ὀδῷ καὶ ἀληθείᾳ ἕκαστον τῶν τῷ βίῳ ὑποπιπτόντων δύνασθαι καὶ τὸ ἀεὶ οὕτως εἰς αὐτὰ

15 incipit 349 v τοῖς

16–20 C 1 ὁπωστιοῦν A μέλη A ἀπαλάσσεσθαι A 2 εὐλύτως corr. Nauck ὡς ⟨ἂν⟩ scripsi 3 ἐνεργησέων P : ἐνεργήσειν A corr. Holst. : ἐνεργήσων Cas. : ἐνεργησείων Rader. (ut si . . . conferat Xyl.) 4 ἔν τινι τῶν οἰκείων P 4–5 ⟨καὶ⟩ πολιτικοῦ Stich. 7 ποιῶδες A μὴν secl. Cor. μεμολ. corr. Rend. 10 ἀπεχισμένον A 12 σέβου P 13 ἀνακόλουθον P 14 ἀπροσπτωσίαν A 15 capita 9–11 continuantur in A 16 μόνον P μνημόνευε A C 20 αὐτὴ δὲ P ἀνθρωποπαρίαν A 21 οὔτε γε corr. Cor. 22 παραιτήμασιν A 24 δι' ὅλου Menag. διειλημμένως Cor. 25 ἑαυτοῦ A ὀνόματα αὐτῶν A 28 τῶν ⟨ἐν⟩ Sch.

ὁρᾶν, ὥστε συνεπιβάλλειν ὁποίῳ τινὶ τῷ κόσμῳ ὁποίαν τινὰ τοῦτο χρείαν παρεχόμενον τίνα μὲν ἔχει ἀξίαν ὡς πρὸς τὸ ὅλον, τίνα δὲ ὡς πρὸς τὸν ἄνθρωπον, πολίτην ὄντα πόλεως τῆς ἀνωτάτης, ἧς αἱ λοιπαὶ πόλεις ὥσπερ οἰκίαι εἰσίν. τί ἐστὶ καὶ ἐκ τίνων συγκέκριται καὶ πόσον χρόνον πέφυκε παραμένειν τοῦτο τὸ τὴν φαντασίαν μοι νῦν ποιοῦν καὶ τίνος ἀρετῆς πρὸς αὐτὸ χρεία, οἷον ἡμερότητος, ἀνδρείας, 3 ἀληθείας, πίστεως, ἀφελείας, αὐταρκείας, τῶν λοιπῶν. διὸ δεῖ ἐφ' ἑκάστου λέγειν· τοῦτο μὲν παρὰ θεοῦ ἥκει, τοῦτο δὲ κατὰ τὴν σύλληξιν καὶ τὴν συμμηρυομένην σύγκλωσιν καὶ τὴν τοιαύτην σύντευξίν τε καὶ τύχην, τοῦτο δὲ παρὰ τοῦ συμφύλου καὶ συγγενοῦς καὶ κοινωνοῦ, ἀγνοοῦντος μέντοι ὅ τι αὐτῷ κατὰ φύσιν ἐστίν. ἀλλ' ἐγὼ οὐκ ἀγνοῶ· διὰ τοῦτο χρῶμαι αὐτῷ κατὰ τὸν τῆς κοινωνίας φυσικὸν νόμον εὔνως καὶ δικαίως, ἅμα μέντοι τοῦ κατ' ἀξίαν ἐν τοῖς μέσοις συστοχάζομαι.

12 | Ἐὰν τὸ παρὸν ἐνεργῇς ἑπόμενος τῷ ὀρθῷ λόγῳ, ἐσπουδασμένως, ἐρρωμένως, εὐμενῶς, καὶ μηδὲν ⟨παρίῃς⟩ παρεμπόρευμα, ἀλλὰ τὸν ἑαυτοῦ δαίμονα καθαρὸν ἑστῶτα τηρῇς, ὡς εἰ καὶ ἤδη ἀποδοῦναι δέοι· ἐὰν τοῦτο συνάπτῃς μηδὲν περιμένων μηδὲ φεύγων, ἀλλὰ τῇ παρούσῃ κατὰ φύσιν ἐνεργείᾳ καὶ τῇ ὧν λέγεις καὶ φθέγγῃ ἡρωικῇ ἀληθείᾳ ἀρκούμενος, εὐζωήσεις. ἔστι δὲ οὐδεὶς ὁ τοῦτο κωλῦσαι δυνάμενος.

13 Ὥσπερ οἱ ἰατροὶ ἀεὶ τὰ ὄργανα καὶ σιδήρια πρόχειρα ἔχουσι πρὸς τὰ αἰφνίδια τῶν θεραπευμάτων, οὕτω τὰ δόγματα σὺ ἕτοιμα ἔχε πρὸς τὸ τὰ θεῖα καὶ ἀνθρώπινα εἰδέναι, καὶ πᾶν καὶ τὸ μικρότατον οὕτω ποιεῖν ὡς τῆς ἀμφοτέρων πρὸς ἄλληλα συνδέσεως μεμνημένον· οὔτε γὰρ ἀνθρώπινόν τι ἄνευ τῆς ἐπὶ τὰ θεῖα συναναφορᾶς εὖ πράξεις οὔτ' ἔμπαλιν.

14 Μηκέτι πλανῶ· οὔτε γὰρ τὰ ὑπομνηματιά σου μέλλεις ἀνα-

---

10 τύχην ἡγουμένοις αἰτίαν τῆς συλλήξεως Pl. *Ti.* 18 c 15 incipit 350 r Ἐὰν 27 ἑαυτῷ τε ὑπομνήματα θησαυριζόμενος εἰς τὸ λήθης γῆρας, ἐὰν ἵκηται Pl. *Phdr.* 276 d

---

21–26 C 1 συμβάλλειν Mor. τῷ secl. Schultz² 4 οἰκεῖαι A συγκρίνεται A 7 διὸδι A 8 κατ' αὐτὴν τὴν A 11 ὅτι τί P: ὅτι A corr. Schultz 13 εὐνόως Morus 15 Κἂν A 16 ⟨παρίῃς⟩ supplevi περ ἐμπόρευμα A: παρεμπορεύῃ Gat. 17 τηρεῖς A ὡσεὶ καὶ εἰ ἀποδ. A 18 τούτῳ Cas. 19 λέγῃς A εὐροικῇ Rend.: Ῥωμαικῇ Rich. " an κυρωτικῇ?" Sch. 20 εὖ ζωήσεις P corr. Bas. 22 πρὸ A 23 πρὸς om. AC σμικρώτατον A 25–6 συνεμφορᾶς Cπ: συναμφορᾶς Cν 27 πλανῶν A ὑπομνήματά C

γινώσκειν οὔτε τὰς τῶν ἀρχαίων Ῥωμαίων καὶ Ἑλλήνων πράξεις καὶ τὰς ἐκ τῶν συγγραμμάτων ἐκλογάς, ἃς εἰς τὸ γῆρας ἑαυτῷ ἀπετίθεσο. σπεῦδε οὖν εἰς τέλος καὶ τὰς κενὰς ἐλπίδας ἀφεὶς σαυτῷ βοήθει, εἴ τί σοι μέλει σεαυτοῦ, ἕως ἔξεστιν.

15 Οὐκ ἴσασι, πόσα σημαίνει τὸ κλέπτειν, τὸ σπείρειν, τὸ ὠνεῖσθαι, τὸ ἡσυχάζειν, τὸ ὁρᾶν τὰ πρακτέα, ὃ οὐκ ὀφθαλμοῖς γίνεται ἀλλ' ἑτέρᾳ τινὶ ὄψει.

16 Σῶμα, ψυχή, νοῦς· σώματος αἰσθήσεις, ψυχῆς ὁρμαί, νοῦ δόγματα. τὸ μὲν τυποῦσθαι φανταστικῶς καὶ τῶν βοσκημάτων· τὸ δὲ νευροσπαστεῖσθαι ὁρμητικῶς καὶ τῶν θηρίων καὶ τῶν ἀνδρογύνων καὶ Φαλάριδος καὶ Νέρωνος· τὸ δὲ τὸν νοῦν ἡγεμόνα ἔχειν ἐπὶ τὰ φαινόμενα καθήκοντα καὶ τῶν θεοὺς μὴ νομιζόντων καὶ τῶν τὴν πατρίδα ἐγκαταλειπόντων καὶ τῶν ⟨ὁτιοῦν⟩ ποιούντων, ἐπειδὰν
2 κλείσωσι τὰς θύρας. εἰ οὖν τὰ λοιπὰ κοινά ἐστι πρὸς τὰ εἰρημένα, λοιπὸν τὸ ἴδιόν ἐστι τοῦ ἀγαθοῦ φιλεῖν μὲν καὶ ἀσπάζεσθαι τὰ συμβαίνοντα | καὶ συγκλωθόμενα αὐτῷ, τὸν δὲ ἔνδον ἐν τῷ στήθει ἱδρυμένον δαίμονα μὴ φύρειν μηδὲ θορυβεῖν ὄχλῳ φαντασιῶν, ἀλλὰ ἵλεων διατηρεῖν, κοσμίως ἑπόμενον θεῷ, μήτε φθεγγόμενόν τι παρὰ τὰ ἀληθῆ μήτε ἐνεργοῦντα παρὰ τὰ δίκαια. εἰ δὲ ἀπιστοῦσιν αὐτῷ πάντες ἄνθρωποι, ὅτι ἁπλῶς καὶ αἰδημόνως καὶ εὐθύμως βιοῖ, οὔτε χαλεπαίνει τινὶ τούτων οὔτε παρατρέπεται τῆς ὁδοῦ τῆς ἀγούσης ἐπὶ τὸ τέλος τοῦ βίου, ἐφ' ὃ δεῖ ἐλθεῖν καθαρόν, ἡσύχιον, εὔλυτον, ἀβιάστως τῇ ἑαυτοῦ μοίρᾳ συνηρμοσμένον.

---

11 *νοῦν δέ γε πάντων τούτων ἡγεμόνα* Pl. *Lg.* 963 a 14 *ὅταν κλείσητε τὰς θύρας καὶ σκότος ἔνδον ποιήσητε, μέμνησθε μηδέποτε λέγειν ὅτι μόνοι ἐστέ . . . ὁ θεὸς ἔνδον ἐστὶν καὶ ὁ ὑμέτερος δαίμων* Epict. i. 14. 13 16 incipit 350 v *καὶ*

1–4 C, 8 Mo 1 2 *σαυτῷ* P: *σεαυτῶ* C: *αὐτῶ* A: corr. Sch. 3 *εἰς θέλος* P cod. corr. Xyl.: *ἐς τέλος* P: *εἰ θέλεις* AC: *εἰς σθένος* Sch. 4 *σαυτοῦ* A Cν *ὡς ἔξ.* P (dum) 10 *νευροσπατεῖσθαι* A 11 *τὸν* om. A verba *τὸ δὲ τὸν νοῦν . . . καθήκοντα* hinc sustulit Gat. et in seqq. post *ἴδιόν ἐστι τοῦ ἀγαθοῦ* collocavit addito ⟨*καὶ*⟩ *φιλεῖν κτέ.* et omissis *δὲ* (11) et *τὸ* (15) 13 ⟨*ὁτιοῦν*⟩ Gat. Holst.: ⟨*πᾶν ὁτιοῦν*⟩ Cor.: ⟨*τί οὐ*⟩ Sch. ⟨*ποῖ' οὐ*⟩ Bury 17 *ἱδρυόμενον* A 18 *ὡς θεῷ* P 18–19 *περὶ τὰ* bis A 22 *ἐφ' ᾧ* A 23 *μηρία συνειρμοσμένον* A

ΒΙΒΛΙΟΝ Δ

1 Τὸ ἔνδον κυριεῦον, ὅταν κατὰ φύσιν ἔχῃ, οὕτως ἔστηκε πρὸς τὰ συμβαίνοντα, ὥστε ἀεὶ πρὸς τὸ δυνατὸν καὶ διδόμενον μετατίθεσθαι ῥᾳδίως. ὕλην γὰρ ἀποτεταγμένην οὐδεμίαν φιλεῖ, ἀλλὰ ὁρμᾷ μὲν πρὸς τὰ ⟨προ⟩ηγούμενα μεθ' ὑπεξαιρέσεως, τὸ δὲ ἀντεισαγόμενον ὕλην ἑαυτῷ ποιεῖ, ὥσπερ τὸ πῦρ, ὅταν ἐπικρατῇ τῶν ἐπεμπιπτόντων, ὑφ' ὧν ἂν μικρός τις λύχνος ἐσβέσθη· τὸ δὲ λαμπρὸν πῦρ τάχιστα ἐξῳκείωσεν ἑαυτῷ τὰ ἐπιφορούμενα καὶ κατηνάλωσε καὶ ἐξ αὐτῶν ἐκείνων ἐπὶ μεῖζον ἤρθη.

2 Μηδὲν ἐνέργημα εἰκῇ μηδὲ ἄλλως ἢ κατὰ θεώρημα συμπληρωτικὸν τῆς τέχνης ἐνεργείσθω.

3 Ἀναχωρήσεις αὐτοῖς ζητοῦσιν ἀγροικίας καὶ αἰγιαλοὺς καὶ ὄρη, εἴωθας δὲ καὶ σὺ τὰ τοιαῦτα μάλιστα ποθεῖν. ὅλον δὲ τοῦτο ἰδιωτικώτατόν ἐστιν, ἐξόν, ἧς ἂν ὥρας ἐθελήσῃς, εἰς ἑαυτὸν ἀναχωρεῖν. οὐδαμοῦ γὰρ οὔτε ἡσυχιώτερον οὔτε ἀπραγμονέστερον ἄνθρωπος ἀναχωρεῖ ἢ εἰς τὴν ἑαυτοῦ ψυχήν, μάλισθ' ὅστις ἔχει ἔνδον τοιαῦτα, εἰς ἃ ἐγκύψας ἐν πάσῃ εὐμαρείᾳ εὐθὺς γίνεται· τὴν δὲ εὐμάρειαν οὐδὲν ἄλλο λέγω ἢ εὐκοσμίαν. συνεχῶς οὖν δίδου σεαυτῷ ταύτην τὴν ἀναχώρησιν καὶ ἀνανέου σεαυτόν· βραχέα δὲ ἔστω καὶ στοιχειώδη ἃ εὐθὺς ἀπαντήσαντα ἀρκέσει εἰς τὸ πᾶσαν λύπην ἀποκλύσαι καὶ ἀποπέμψαι σε μὴ δυσχεραίνοντα | ἐκείνοις ἐφ'
2 ἃ ἐπανέρχῃ. τίνι γὰρ δυσχερανεῖς; τῇ τῶν ἀνθρώπων κακίᾳ; ἀναλογισάμενος τὸ κρῖμα, ὅτι τὰ λογικὰ ζῷα ἀλλήλων ἕνεκεν γέγονε καὶ ὅτι τὸ ἀνέχεσθαι μέρος τῆς δικαιοσύνης καὶ ὅτι ἄκοντες

---

11 κατασκευάζει διὰ τῶν προκειμένων ὁ λόγος ὡς οὐ τὸ τὰς ἐρήμους διώκειν ἀναχώρησίς ἐστι παθῶν καὶ τῶν ἐν βίῳ θορύβων, ἀλλὰ τὸ ἐπεστράφθαι εἰς ἑαυτὸν καὶ σπεύδειν γνῶναι ἑαυτόν, τῆς ἀπὸ τῶν ἄλλων φορᾶς ὀλίγον ἔχοντα λόγον Arethas *ad Dion. Chrys. Or.* xx (Sonny, p. 112) 14 οὐδαμοῦ γὰρ οὔτε ἡσυχώτερον κατὰ τὸν αὐτοκράτορα Μάρκον οὔτε ἀπραγμονέστερόν τις ἀναχωρεῖ ἢ εἰς τὴν ἑαυτοῦ ψυχήν Arethas *ad Dion. Chrys. Or.* xx. 8 (Sonny, p. 113) 16 Suid. εὐμάρεια: ἡ εὐκολία. λέγεται δὲ καὶ ἡ εὐκοσμία παρὰ Μάρκῳ Ἀντωνίνῳ 20 incipit 351 r ἐκείνοις

9–23 D, 11–21 C, 22 τὰ λογικὰ . . . γέγονε Moi, titulo Δ praefixo 1 inter libros nullum interv. A 2 καὶ om. A 4 ἡγούμενα (proposita) corr. Gat. 6 τὸ διαλαπρὸν A 11 ἵνα χωρήσεις A vitio rubr.: ὅτι ἀν. C αὐτοῖς C nonn.: αὐτοῖς P A C rell.: τινὲς D 12 εἴωθας . . . ποθεῖν om. D 13 ἐστι, σὺ δ' εἰς ἑαυτὸν ἀναχωρεῖν D σεαυτὸν Leop. 15 μάλιστ' A ὅτ' ἔχει (suprascr. οι) ἔνδον τοιαῦτά τις C 18 ἀνανεύου A D πρὸς σεαυτόν D 20 λύπην Holst.: αὐλὴν (ἀποκλεῖσαι) Lofft: αὐτὴν ἀποκλεῖσαι A D 21 δυσχεραίνεις corr. Cor.

ἁμαρτάνουσι καὶ πόσοι ἤδη διεχθρεύσαντες, ὑποπτεύσαντες, μισήσαντες, διαδορατισθέντες ἐκτέτανται, τετέφρωνται, παύου ποτέ. ἀλλὰ καὶ τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις δυσχερανεῖς; ἀνανεωσάμενος τὸ διεζευγμένον τό· ἤτοι πρόνοια ἢ ἄτομοι, καὶ ἐξ ὅσων ἀπεδείχθη ὅτι ὁ κόσμος ὡσανεὶ πόλις. ἀλλὰ τὰ σωματικά σου ἄψεται ἔτι; ἐννοήσας ὅτι οὐκ ἐπιμίγνυται λείως ἢ τραχέως κινουμένῳ πνεύματι ἡ διάνοια, ἐπειδὰν ἅπαξ ἑαυτὴν ἀπολάβῃ καὶ γνωρίσῃ τὴν ἰδίαν ἐξουσίαν, καὶ λοιπὸν ὅσα περὶ πόνου καὶ ἡδονῆς
3 ἀκήκοας καὶ συγκατέθου. ἀλλὰ τὸ δοξάριόν σε περισπάσει; ἀπιδὼν εἰς τὸ τάχος τῆς πάντων λήθης καὶ τὸ χάος τοῦ ἐφ' ἑκάτερα ἀπείρου αἰῶνος καὶ τὸ κενὸν τῆς ἀπηχήσεως καὶ τὸ εὐμετάβολον καὶ ἄκριτον τῶν εὐφημεῖν δοκούντων καὶ τὸ στενὸν τοῦ τόπου, ἐν ᾧ περιγράφεται· ὅλη τε γὰρ ἡ γῆ στιγμὴ καὶ ταύτης πόστον γωνίδιον ἡ κατοίκησις αὕτη; καὶ ἐνταῦθα πόσοι καὶ οἷοί τινες οἱ ἐπαινεσόμενοι;
4 λοιπὸν οὖν μέμνησο τῆς ὑποχωρήσεως τῆς εἰς τοῦτο τὸ ἀγρίδιον ἑαυτοῦ καὶ πρὸ παντὸς μὴ σπῶ μηδὲ κατεντείνου, ἀλλὰ ἐλεύθερος ἔσο καὶ ὅρα τὰ πράγματα ὡς ἀνήρ, ὡς ἄνθρωπος, ὡς πολίτης, ὡς θνητὸν ζῷον. ἐν δὲ τοῖς προχειροτάτοις, εἰς ἃ ἐγκύψεις, ταῦτα ἔστω τὰ δύο· ἕν μέν, ὅτι τὰ πράγματα οὐχ ἅπτεται τῆς ψυχῆς, ἀλλ' ἔξω ἕστηκεν ἀτρεμοῦντα, αἱ δὲ ὀχλήσεις ἐκ μόνης τῆς ἔνδον ὑπολήψεως· ἕτερον δέ, ὅτι πάντα ταῦτα, ὅσα ὁρᾷς, ὅσον οὐδέπω μεταβαλεῖ καὶ οὐκ ἔτι ἔσται· καὶ ὅσων ἤδη μεταβολαῖς αὐτὸς παρατετύχηκας, συνεχῶς διανοοῦ. ὁ κόσμος ἀλλοίωσις, ὁ βίος ὑπόληψις.

4 Εἰ τὸ νοερὸν ἡμῖν κοινόν, καὶ ὁ λόγος, καθ' ὃν λογικοί ἐσμεν, κοινός· εἰ τοῦτο, καὶ ὁ προ|στακτικὸς τῶν ποιητέων ἢ μὴ λόγος

10 τὸν μὲν παρῳχηκότα καὶ τὸν μέλλοντα ἀπείρους, τὸν δὲ ἐνεστῶτα πεπερασμένον D.L. 7. 141 24 ὁ κόσμος ἀλλοίωσις, ὁ βίος ὑπόληψις Δημοκράτους γνῶμαι 85; [Democritus] *Fr.* 115 D 26 incipit 351 v -στακτικὸς

6–29 D, 26 C 2 ἐκτέταντες A: ἀποκταθέντες D ⟨καὶ⟩ τετέφρωνται Stich 3 ἀλλὰ τοῖς D δυσχεραίνεις corr. Schultz² 4 διεζευγμένον· ἤτοι P ἢ ἐξ ὅ. P 6 ἄψεται; ἔτι corr. Cas.: ἔτι secl. Stich τελείως A 9 σε ⟨φησί⟩ Cν ⟨ἀλλ'⟩ ἀπιδὼν Cν 12 ἐφ' ἡμῖν corr. Gat 12–13 περιγράφεται ⟨παύου ποτέ.⟩ C 13 ὅλη τε om. Cπ καὶ ταύτης om. A D πόσον P C ⟨καὶ⟩ ἡ Cν 15 ἀρθρίδιον P: ἀγροίδιον C 16 κατεκτείνου C 19 ἓν P (alterum) 22 μεταβάλλει corr. Junius 22 ὅσον A D: ὅσον οὐκ C 23 συνεχῶς δι' ἀκοῆν C: συνεχῶς διανοοῦ cum seqq. coniungere volebat Reiske 25 εἰς A 26 ποιητῶν A D C ἠμίλογος A D

κοινός· εἰ τοῦτο, καὶ ὁ νόμος κοινός· εἰ τοῦτο, πολῖταί ἐσμεν· εἰ τοῦτο, πολιτεύματός τινος μετέχομεν· εἰ τοῦτο, ὁ κόσμος ὡσανεὶ πόλις ἐστί· τίνος γὰρ ἄλλου φήσει τις τὸ τῶν ἀνθρώπων πᾶν γένος κοινοῦ πολιτεύματος μετέχειν; ἐκεῖθεν δέ, ἐκ τῆς κοινῆς ταύτης πόλεως, καὶ αὐτὸ τὸ νοερὸν καὶ λογικὸν καὶ νομικὸν ἡμῖν ἢ πόθεν; ὥσπερ γὰρ τὸ γεῶδές μοι ἀπό τινος γῆς ἀπομεμέρισται καὶ τὸ ὑγρὸν ἀφ' ἑτέρου στοιχείου καὶ τὸ πνευματικὸν ἀπὸ πηγῆς τινος καὶ τὸ θερμὸν καὶ πυρῶδες ἔκ τινος ἰδίας πηγῆς (οὐδὲν γὰρ ἐκ τοῦ μηδενὸς ἔρχεται, ὥσπερ μηδ' εἰς τὸ οὐκ ὂν ἀπέρχεται), οὕτω δὴ καὶ τὸ νοερὸν ἥκει ποθέν.

5 Ὁ θάνατος τοιοῦτον, οἷον γένεσις, φύσεως μυστήριον· σύγκρισις ἐκ τῶν αὐτῶν στοιχείων, εἰς ταὐτὰ ⟨λύσις⟩. ὅλως δὲ οὐκ ἐφ' ᾧ ἄν τις αἰσχυνθείη· οὐ γὰρ παρὰ τὸ ἐξῆς τῷ νοερῷ ζῴῳ οὐδὲ παρὰ τὸν λόγον τῆς κατασκευῆς.

6 Ταῦτα οὕτως ὑπὸ τῶν τοιούτων πέφυκε γίνεσθαι ἐξ ἀνάγκης, ὁ δὲ τοῦτο μὴ θέλων θέλει τὴν συκῆν ὀπὸν μὴ ἔχειν. ὅλως δὲ ἐκείνου μέμνησο, ὅτι ἐντὸς ὀλιγίστου χρόνου καὶ σὺ καὶ οὗτος τεθνήξεσθε, μετὰ βραχὺ δὲ οὐδὲ ὄνομα ὑμῶν ὑπολειφθήσεται.

7 Ἆρον τὴν ὑπόληψιν, ἦρται τὸ βέβλαμμαι· ἆρον τὸ βέβλαμμαι, ἦρται ἡ βλάβη.

8 Ὃ χείρω αὐτὸν ἑαυτοῦ ἄνθρωπον οὐ ποιεῖ, τοῦτο οὐδὲ τὸν βίον αὐτοῦ χείρω ποιεῖ οὐδὲ βλάπτει οὔτε ἔξωθεν οὔτε ἔνδοθεν.

9 Ἠνάγκασται ἡ τοῦ συμφέροντος φύσις τοῦτο ποιεῖν.

10 Ὅτι "πᾶν τὸ συμβαῖνον δικαίως συμβαίνει"· ὃ ἐὰν ἀκριβῶς παραφυλάσσῃς, εὑρήσεις· οὐ λέγω μόνον κατὰ τὸ ἐξῆς, ἀλλ' ὅτι κατὰ τὸ δίκαιον καὶ ὡς ἂν ὑπό τινος ἀπονέμοντος τὸ κατ' ἀξίαν. παραφύλασσε οὖν ὡς ἦρξω, καί, ὅ τι ἂν ποιῇς, σὺν τούτῳ ποίει, σὺν τῷ ἀγαθὸς εἶναι, καθὸ νενόηται ἰδίως ὁ ἀγαθός. τοῦτο ἐπὶ πάσης ἐνεργείας σῴζε.

1–10, 19–22 D, 1–12 C, 6–12, 16–18, 19–25 Mo 1 3 πολίταις τι A D φύσιν τις A D 5 νομιμὸν malim. 7 ἀπὸ γῆς τινος A D γῆς, πη suprascr. Cν 8 πυρρῶδες D οὐδὲν ἐκ A: καὶ οὐδὲν ἐκ D οὐδὲ (suprascr. μη) C: ἐκ τοῦ μὴ ὄντος . . . οὐδ' εἰς τὸ μὴ ὂν ἀ. Nauck 10 ⟨ἐκεῖθεν ἢ⟩ πόθεν; forsan 11 τοιοῦτος P A Mo 1 12 δὲ ἐκ C αὐτῶν om. C ταυτά C ⟨καὶ διάλύσις⟩ εἰς ταὐτά Gat. εἰς ταὐτὰ ⟨λύσις⟩ scripsi 14 παρασκευῆς corr. Rend. 15 γενέσθαι A 16 ἐκείνω A: ἐκεῖνο P corr. Cor. 17 τεθνήζεσθαι A 21–2 τοῦτο . . . ποιεῖ om. D 22 χείρω οὐ ποιεῖ A Mo 1 23 ταῦτα A Mo 1 24 παραφυλλ. A 25 ἔτι Reiske: ὅτι post μόνον transtulerit Schultz² 27 σὺν τὸ P

11 *Μὴ τοιαῦτα ὑπολάμβανε, οἷα ὁ ὑβρίζων κρίνει ἢ οἷά σε κρίνειν βούλεται, ἀλλὰ ἴδε αὐτά, ὁποῖα κατ' ἀλήθειάν ἐστιν.*

12 *Δύο ταύτας ἑτοιμότητας ἔχειν ἀεὶ δεῖ· τὴν μὲν πρὸς τὸ πρᾶξαι μόνον ὅπερ ἂν ὁ τῆς βασιλικῆς καὶ νομοθετικῆς λόγος ὑποβάλλῃ ἐπ' ὠφελείᾳ ἀνθρώπων· τὴν δὲ πρὸς τὸ μεταθέσθαι, ἐὰν ἄρα τις παρῇ διορθῶν καὶ μετάγων ἀπό τινος οἰήσεως. τὴν μέντοι μεταγωγὴν ἀεὶ ἀπό τινος πιθανότητος, ὡς δικαίου ἢ κοινωφελοῦς, γίνεσθαι καὶ τὰ προηγμένα τοιαῦτα μόνον εἶναι δεῖ, οὐχ ὅτι ἡδὺ ἢ ἔνδοξον ἐφάνη.*

13 *"Λόγον ἔχεις;" "ἔχω." "τί οὖν οὐ χρᾷ; τούτου γὰρ τὸ ἑαυτοῦ ποιοῦντος τί ἄλλο θέλεις;"*

14 *Ἐννπέστης ὡς μέρος. ἐναφανισθήσῃ τῷ γεννήσαντι· μᾶλλον δὲ ἀναληφθήσῃ εἰς τὸν λόγον αὐτοῦ τὸν σπερματικὸν κατὰ μεταβολήν.*

15 *Πολλὰ λιβανωτοῦ βωλάρια ἐπὶ τοῦ αὐτοῦ βωμοῦ· τὸ μὲν προκατέπεσεν, τὸ δ' ὕστερον, διαφέρει δ' οὐδέν.*

16 *Ἐντὸς δέκα ἡμερῶν θεὸς αὐτοῖς ⟨τούτοις⟩ δόξεις οἷς νῦν θηρίον καὶ πίθηκος, ἐὰν ἀνακάμψῃς ἐπὶ τὰ δόγματα καὶ τὸν σεβασμὸν τοῦ λόγου.*

17 *Μὴ ὡς μύρια μέλλων ἔτη ζῆν. τὸ χρεὼν ἐπήρτηται· ἕως ζῇς, ἕως ἔξεστιν, ἀγαθὸς γενοῦ.*

18 *Ὅσην εὐσχολίαν κερδαίνει ὁ μὴ βλέπων τί ὁ πλησίον εἶπεν ἢ ἔπραξεν ἢ διενοήθη, ἀλλὰ μόνον τί αὐτὸς ποιεῖ, ἵνα αὐτὸ τοῦτο δίκαιον ᾖ καὶ ὅσιον ἢ † κατὰ τὸν ἀγαθὸν· μὴ μέλαν ἦθος περιβλέπεσθαι, ἀλλ' ἐπὶ τῆς γραμμῆς τρέχειν ὀρθόν, μὴ διερριμμένον.*

---

3 incipit 352 r *Δύο* 4 *τῆς καλλίστης ἀρετῆς καὶ μεγίστης ἐφίεσαι τέχνης· ἔστι γὰρ τῶν βασιλέων αὕτη καὶ καλεῖται βασιλική* Xen. *Mem.* iv. 2. 11 *εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν γραφήν· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν, καλῶς ποιεῖτε* S. Jacob. *Ep.* ii. 8 7 *ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται* Hes. *Op.* 295 16 *ἐξαίφνης, ὀλίγου δέω εἰπεῖν, ἥρως τις ἢ δαίμων ἢ θεὸς ἐκ θηρίου τοῦ κακίστου γενόμενος* Plu. *Paradox. Stoic.* 1058 b 23 'verba omnino ex aliquo poeta desumpta' Xyl., qui *κατὰ τὸν Ἀγαθῶνα* legebat

12–24 C 2 *ὁποίαν* A 3 *δεῖ* secluserim 5 *ἄρα* A 8 *παραπλήσια* P: *παραπαίοντα* (λ in marg.) A: *προηγμένα* scripsi: *παραπήγματα* Schultz 10 *τοῦτο* A 12 *ἀνιπέστης . . . ἀναφανισθήσῃ* A *γενήσαντι* A 16 *θεὸς αὐτοιτὸς δόξεις οἷς* Cν: *θεὸς ⟨θεοῖς⟩ αὐτοῖς* Rend.: *θεοῖς ἄνθρωπος* Rich.: *⟨τούτοις⟩* supplevi *δόξεις* om. Cπ 19 *κύρια ἔτη μέλλων* C *μὴ ⟨ζῇ⟩ ὡς* forsan March. *χρέος* A C 21 *ἀσχολίαν* (quantum ocii): corr. Gat. 23 *ὅσιον. δεῖ γὰρ τὸν ἀ.* Morus *Ἀγαθῶνα* Xyl. 23–4 *μὴ . . . ὀρθόν* om. A 23 *ἦθος καὶ περιβλ.* C 24 *διερριζόμενον* Cπ *μὴδι ἐρριμμένον* Cν

19 Ὁ περὶ τὴν ὑστεροφημίαν ἐπτοημένος οὐ φαντάζεται ὅτι ἕκαστος τῶν μεμνημένων αὐτοῦ τάχιστα καὶ αὐτὸς ἀποθανεῖται· εἶτα πάλιν ὁ ἐκεῖνον διαδεξάμενος, μέχρι καὶ πᾶσα ἡ μνήμη ἀποσβῇ διὰ ἁπτομένων καὶ σβεννυμένων προιοῦσα. ὑπόθου δ', ὅτι καὶ ἀθάνατοι μὲν οἱ μεμνησόμενοι, ἀθάνατος δὲ ἡ μνήμη· τί οὖν τοῦτο πρὸς σέ; καὶ οὐ λέγω, ὅτι οὐδὲν πρὸς τὸν τεθνηκότα, ἀλλὰ πρὸς τὸν ζῶντα τί ὁ ἔπαινος, πλὴν ἄρα δι' οἰκονομίαν τινά; παρίης γὰρ νῦν ἀκαίρως τὴν φυσικὴν δόσιν ἄλλου τινὸς ⟨οὐκ⟩ ἐχομένην λόγου. λοιπόν . . .

20 Πᾶν τὸ καὶ ὁπωσοῦν καλὸν ἐξ ἑαυτοῦ καλόν ἐστι καὶ ἐφ' ἑαυτὸ καταλήγει, οὐκ ἔχον μέρος ἑαυτοῦ τὸν ἔπαινον· οὔτε γοῦν χεῖρον οὔτε κρεῖττον γίνεται τὸ ἐπαινούμενον. τοῦτό φημι καὶ ἐπὶ τῶν κοινότερον καλῶν λεγομένων, οἷον ἐπὶ τῶν | ὑλικῶν καὶ ἐπὶ τῶν τεχνικῶν κατασκευασμάτων· τὸ δὲ δὴ ὄντως καλὸν τίνος χρείαν ἔχει; οὐ μᾶλλον ἢ νόμος, οὐ μᾶλλον ἢ ἀλήθεια, οὐ μᾶλλον ἢ εὔνοια ἢ αἰδώς· τί τούτων διὰ τὸ ἐπαινεῖσθαι καλόν ἐστιν ἢ ψεγόμενον φθείρεται; σμαράγδιον γὰρ ἑαυτοῦ χεῖρον γίνεται, ἐὰν μὴ ἐπαινῆται; τί δὲ χρυσός, ἐλέφας, πορφύρα, λύρα, μαχαίριον, ἀνθύλλιον, δενδρύφιον;

21 Εἰ διαμένουσιν αἱ ψυχαί, πῶς αὐτὰς ἐξ ἀιδίου χωρεῖ ὁ ἀήρ; πῶς δὲ ἡ γῆ χωρεῖ τὰ τῶν ἐκ τοσούτου αἰῶνος θαπτομένων σώματα; ὥσπερ γὰρ ἐνθάδε ἡ τούτων ⟨μετὰ⟩ ποσήν τινα ἐπιδιαμονὴν μεταβολὴ καὶ διάλυσις χώραν ἄλλοις νεκροῖς ποιεῖ, οὕτως αἱ εἰς τὸν ἀέρα μεθιστάμεναι ψυχαί, ἐπὶ ποσὸν συμμείνασαι, μεταβάλλουσι

4 ἄνθρωπος, ὅκως ἐν εὐφρόνῃ φάος, ἅπτεται ἀποσβέννυται Heraclitus 26 D, 77 B σβεννυμένην ἡμῶν τὴν φύσιν εὐθὺς ἐξάπτοντα διὰ τῶν γενέσεων Plu. *Amat.* 752 a nos quoque et exstinguimur et accendimur Sen. *Ep.* 54. 5 13 incipit 352 v ὑλικῶν 20 εἰ παραμένουσι ψυχαὶ ἦγουν εἰσὶν ἀφθαρτῶς πῶς ἐξ αἰῶνος ὁ ἀὴρ ταύτας χωρεῖν ἰσχύει; Jo. Tzetzes, *Chil.* vii. 804

1–24 D, 10–19 C 1 Ὁ om. A 2 πάλιν καὶ αὐτὸς ὁ ἐκεῖνον δ. P 4 ἐπτοημένων corr. Pierron: ἐξαπτ. Crossley: πετομένων Pater 6 οὐδὲν λέγω, ὅτι πρὸς τὸν τ. P 7–8 παρίης . . . ἐχόμενος Gat.: παρεὶς . . . ἔχῃ Cor.: πάρες ⟨οὐκ⟩ March. ἐχόμενον P 10 ἂν (π om.) A ἐφ' ἑαυτῷ P 11 οὕτω γοῦν D: οὐ τοίνυν Sch. 12 ἢ κρεῖττον corr. Nauck: ἢ χεῖρον γίγν. Cν 13 καλὸν A: καλῶς C 14 τό γε δὴ A D: τὸ γὰρ δὴ Kron. τινὸς P 15 νόμος, ἀλήθεια, εὔνοια, αἰδώς C 16 κάλλιον Rich. 17 γὰρ om. C 18 λύρα om. P 19 ἀθύλλιον A 22 πρὸς ἥντινα ἐπιδιαμονὴν corr. Cas. Gat. ἐπὶ ποσήν τινα διαμονὴν Rend.: παρ' ὀλίγην τινὰ ἐπιδ. Sch. 24 μεθισταμέναι A: μεθεσταμέναι Menag. πόσον P

καὶ χέονται καὶ ἐξάπτονται εἰς τὸν τῶν ὅλων σπερματικὸν λόγον ἀναλαμβανόμεναι καὶ τοῦτον τὸν τρόπον χώραν ταῖς προσσυνοικιζομέναις παρέχουσι. τοῦτο δ' ἄν τις ἀποκρίναιτο ἐφ' ὑποθέσει τοῦ
2 τὰς ψυχὰς διαμένειν. χρὴ δὲ μὴ μόνον ἐνθυμεῖσθαι τὸ πλῆθος τῶν θαπτομένων οὑτωσὶ σωμάτων, ἀλλὰ καὶ τὸ τῶν ἑκάστης ἡμέρας ἐσθιομένων ζῴων ὑφ' ἡμῶν τε καὶ τῶν ἄλλων ζῴων. ὅσος γὰρ ἀριθμὸς καταναλίσκεται καὶ οὑτωσί πως θάπτεται ἐν τοῖς τῶν τρεφομένων σώμασι, καὶ ὅμως δέχεται ἡ χώρα αὐτὰ διὰ τὰς ἐξαιματώσεις, διὰ τὰς εἰς τὸ ἀερῶδες ἢ πυρῶδες ἀλλοιώσεις.

Τίς ἐπὶ τούτου ἡ ἱστορία τῆς ἀληθείας; διαίρεσις εἰς τὸ ὑλικὸν καὶ εἰς τὸ αἰτιῶδες.

22 Μὴ ἀπορρέμβεσθαι, ἀλλ' ἐπὶ πάσης ὁρμῆς τὸ δίκαιον ἀποδιδόναι καὶ ἐπὶ πάσης φαντασίας σῴζειν τὸ καταληπτικόν.

23 Πᾶν μοι συναρμόζει ὃ σοὶ εὐάρμοστόν ἐστιν, ὦ κόσμε· οὐδέν μοι πρόωρον οὐδὲ ὄψιμον ὃ σοὶ εὔκαιρον. πᾶν μοι καρπὸς ὃ φέρουσιν αἱ σαὶ ὧραι, ὦ φύσις· ἐκ σοῦ πάντα, ἐν σοὶ πάντα, εἰς σὲ πάντα. ἐκεῖνος μέν φησιν· "⟨ὦ⟩ πόλι φίλη Κέκροπος"· σὺ δὲ οὐκ ἐρεῖς· "ὦ πόλι φίλη Διός";

24 "Ὀλίγα πρῆσσε, φησίν, εἰ μέλλεις εὐθυμήσειν." μήποτε ἄμεινον τἀναγκαῖα πράσσειν καὶ ὅσα ὁ τοῦ φύσει πολιτικοῦ ζῴου | λόγος αἱρεῖ καὶ ὡς αἱρεῖ; τοῦτο γὰρ οὐ μόνον τὴν ἀπὸ τοῦ καλῶς πράσσειν εὐθυμίαν φέρει, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ ὀλίγα πράσσειν. τὰ πλεῖστα γὰρ ὧν λέγομεν καὶ πράσσομεν οὐκ ἀναγκαῖα ὄντα ἐάν τις περιέλῃ, εὐσχολώτερος καὶ ἀταρακτότερος ἔσται. ὅθεν δεῖ καὶ παρ' ἕκαστα ἑαυτὸν ὑπομιμνήσκειν· μήτι τοῦτο οὐ τῶν ἀναγκαίων;

16 ὥρας αἱ πάντα φέρουσιν Heraclitus 100 D, 34 B cf. M. Anton. ix. 3 ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα S. Paul. *Rom.* xi. 36 17 Aristoph. *Fr.* 110 19 ὅτι δεῖ τὸν εὐθυμεῖν μέλλοντα μήτε πολλὰ πρήσσειν μήτε ἰδίῃ μήτε ξυνῇ Plu. *De Tranqu.* 465 c, Stob. *Ecl.* iii, p. 651; τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πρήσσειν, μήτε ἰδίῃ μήτε ξυνῇ Stob. *Ecl.* iv, p. 907 20 ἄνθρωπος φύσει πολιτικὸν ζῷον Arist. *Pol.* 1253 a 2 incipit 353 r λόγος

1–13 D 2 προσυνοικιζομέναις P corr. Gat.: πρὸς ταῖς συνοικιζομέναις A D 5 τὸ om. D 6 ἄλων A 8 αὕτη corr. Gat. 9 πυρρῶδες D 12 ἀπορεμβ. A 12–13 ἐπὶ . . . καὶ om. A 15 ὄψιον A τὸ σοὶ corr. Schultz² 17 ⟨ὦ⟩ πόλι Gat. (o chara) 17 et 18 πολλοὶ φίλοι A 19–20 μηδὲν ἄμεινον τοῦ ἀναγκαῖα Xyl. quam emend. expressit P: P cod. cum A consent. ἄμεινον ⟨μόνον⟩ Rendall 20 ⟨τὸ⟩ τἀναγκαῖα Cor. 21 μόνην A 22 εὐθυμίαν . . . πράσσειν om. A 24 ἀπαρακτ. A ὅθεν δὴ A 25 οὐ τῶν] τῶν οὐκ Morus

δεῖ δὲ μὴ μόνον πράξεις τὰς μὴ ἀναγκαίας περιαιρεῖν, ἀλλὰ καὶ φαντασίας· οὕτως γὰρ οὐδὲ πράξεις παρέλκουσαι ἐπακολουθήσουσιν.

25 Πείρασον πῶς σοι χωρεῖ καὶ ὁ τοῦ ἀγαθοῦ ἀνθρώπου βίος τοῦ ἀρεσκομένου μὲν τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις, ἀρκουμένου δὲ τῇ ἰδίᾳ πράξει δικαίᾳ καὶ διαθέσει εὐμενεῖ.

26 Ἑώρακας ἐκεῖνα, ἴδε καὶ ταῦτα. σεαυτὸν μὴ τάρασσε· ἁπλωσον σεαυτόν. ἁμαρτάνει τις; ἑαυτῷ ἁμαρτάνει. συμβέβηκέ σοί τι; καλῶς· ἐκ τῶν ὅλων ἀπ' ἀρχῆς σοι συγκαθείμαρτο καὶ συνεκλώθετο πᾶν τὸ συμβαῖνον. τὸ δ' ὅλον, βραχὺς ὁ βίος· κερδαντέον τὸ παρὸν σὺν εὐλογιστίᾳ καὶ δίκῃ. νῆφε ἀνειμένος.

27 Ἦτοι κόσμος διατεταγμένος ἢ κυκεὼν συμπεφορημένος μέν, ἀλλὰ κόσμος· ἢ ἐν σοὶ μέν τις κόσμος ὑφίστασθαι δύναται, ἐν δὲ τῷ παντὶ ἀκοσμία; καὶ ταῦτα οὕτως πάντων διακεκριμένων καὶ διακεχυμένων καὶ συμπαθῶν.

28 Μέλαν ἦθος, θῆλυ ἦθος, περισκελὲς ἦθος, θηριῶδες, βοσκηματῶδες, παιδαριῶδες, βλακικόν, κίβδηλον, βωμολόχον, καπηλικόν, τυραννικόν.

29 Εἰ ξένος κόσμου ὁ μὴ γνωρίζων τὰ ἐν αὐτῷ ὄντα, οὐχ ἧττον ξένος καὶ ὁ μὴ γνωρίζων τὰ γινόμενα. φυγὰς ὁ φεύγων τὸν πολιτικὸν λόγον· τυφλὸς ὁ καταμύων τῷ νοερῷ ὄμματι· πτωχὸς ὁ ἐνδεὴς ἑτέρου καὶ μὴ πάντα ἔχων παρ' ἑαυτοῦ τὰ εἰς τὸν βίον χρήσιμα· ἀπόστημα κόσμου ὁ ἀφιστάμενος καὶ χωρίζων ἑαυτὸν τοῦ τῆς κοινῆς φύσεως λόγου διὰ τοῦ δυσαρεστεῖν τοῖς συμβαίνουσιν· ἐκείνη γὰρ φέρει τοῦτο, ἣ καὶ σὲ ἤνεγκεν· ἀπόσχισμα πόλεως ὁ τὴν ἰδίαν ψυχὴν τῆς τῶν λογικῶν ἀποσχίζων, μιᾶς οὔσης.

30 Ὁ μὲν χωρὶς χιτῶνος φιλοσοφεῖ, ὁ δὲ χωρὶς | βιβλίου. ἄλλος οὗτος ἡμίγυμνος· ἄρτους οὐκ ἔχω, φησί, καὶ ἐμμένω τῷ λόγῳ.— ἐγὼ δὲ τροφὰς τὰς ἐκ τῶν μαθημάτων ἔχω καὶ οὐκ ἐμμένω.

---

12 καὶ ὁ κυκεὼν διίσταται μὴ κινεόμενος Heraclitus, 125 D, 84 B 27 incipit 353 v βιβλίου

---

1 οὐ μόνον A 8–9 σοί τι καλῶς; corr. Cas.: σοί τι κακῶς; Upton 11 ἀνειμέρως A: ἀνειμένως Schultz 12 συμπεφυρμένος Schultz μέν, ἀλλὰ] ἀλλὰ μὴν Rend. 13 ἀλλ' ἄκοσμος Trann. 19 τὰ ἑαυτῷ ὄντα A 22 τὰ om. A 28 οὕτως corr. Gat. ἡμίγγυμνος A 29 τῶν om. P οὐκ ἔχω καὶ corr. Trann.

31 Τὸ τεχνίον ὃ ἔμαθες φίλει, τούτῳ προσαναπαύου· τὸ δὲ ὑπόλοιπον τοῦ βίου διέξελθε ὡς θεοῖς μὲν ἐπιτετροφὼς τὰ σεαυτοῦ πάντα ἐξ ὅλης τῆς ψυχῆς, ἀνθρώπων δὲ μηδενὸς μήτε τύραννον μήτε δοῦλον σεαυτὸν καθιστάς.

32 Ἐπινόησον λόγου χάριν τοὺς ἐπὶ Οὐεσπασιανοῦ καιρούς, ὄψει τὰ αὐτὰ πάντα· γαμοῦντας, παιδοτροφοῦντας, νοσοῦντας, ἀποθνήσκοντας, πολεμοῦντας, ἑορτάζοντας, ἐμπορευομένους, γεωργοῦντας, κολακεύοντας, αὐθαδιζομένους, ὑποπτεύοντας, ἐπιβουλεύοντας, ἀποθανεῖν τινας εὐχομένους, γογγύζοντας ἐπὶ τοῖς παροῦσιν, ἐρῶντας, θησαυρίζοντας, ὑπατείας, βασιλείας ἐπιθυμοῦντας· οὐκοῦν ἐκεῖνος μὲν ὁ τούτων βίος οὐκ ἔτι οὐδαμοῦ. πάλιν ἐπὶ τοὺς καιροὺς 2 τοὺς Τραιανοῦ μετάβηθι· πάλιν τὰ αὐτὰ πάντα· τέθνηκε κἀκεῖνος ὁ βίος. ὁμοίως καὶ τὰς ἄλλας ἐπιγραφὰς χρόνων καὶ ὅλων ἐθνῶν ἐπιθεώρει καὶ βλέπε, πόσοι κατενταθέντες μετὰ μικρὸν ἔπεσον καὶ ἀνελύθησαν εἰς τὰ στοιχεῖα· μάλιστα δὲ ἀναπολητέον ἐκείνους, οὓς αὐτὸς ἔγνως κενὰ σπωμένους, ἀφέντας ποιεῖν τὸ κατὰ τὴν ἰδίαν κατασκευὴν καὶ τούτου ἀπρὶξ ἔχεσθαι καὶ τούτῳ ἀρκεῖσθαι. ἀναγκαῖον δὲ ὧδε τὸ μεμνῆσθαι, ὅτι καὶ ἡ ἐπιστροφὴ καθ' ἑκάστην πρᾶξιν ἰδίαν ἀξίαν ἔχει καὶ συμμετρίαν· οὕτως γὰρ οὐκ ἀποδυσπετήσεις, ἐὰν μὴ ἐπὶ πλέον ἢ προσῆκε περὶ τὰ ἐλάσσω καταγίνῃ.

33 Αἱ πάλαι συνήθεις λέξεις γλωσσήματα νῦν· οὕτως οὖν καὶ τὰ ὀνόματα τῶν πάλαι πολυυμνήτων νῦν τρόπον τινὰ γλωσσήματά ἐστιν· Κάμιλλος, Καίσων, Οὐόλεσος, Δεντάτος, κατ' ὀλίγον δὲ καὶ Σκιπίων καὶ Κάτων, εἶτα καὶ Αὔγουστος, εἶτα καὶ Ἁδριανὸς καὶ Ἀντωνῖνος· ἐξίτηλα γὰρ πάντα καὶ μυθώδη ταχὺ γίνεται, ταχὺ δὲ καὶ παντελὴς λήθη κατέχωσεν. καὶ ταῦτα λέγω ἐπὶ τῶν θαυμαστῶς πως λαμψάντων· | οἱ γὰρ λοιποὶ ἅμα τῷ ἐκπνεῦσαι "ἄιστοι, ἄπυστοι". τί δὲ καὶ ἔστιν ὅλως τὸ ἀείμνηστον; ὅλον κενόν. τί οὖν

27 incipit 354 r οἱ
27 νῦν δέ μιν ἀκλειῶς ἅρπυιαι ἀνηρείψαντο·
οἴχετ' ἄιστος, ἄπυστος *Od.* i. 241

20–28 Mo 2 1 τοῦτο A 2 τὰς ἑαυτοῦ A 4 ἑαυτόν P 5 σοῦ λόγου A οὐεσπεσιανοῦ A 5–6 ταῦτα corr. Gat 9 γογγίζοντας A 11 ἐκείνους A τούτου A οὐκ ἔτοὐδαμοῦ A 12 τοῦ τρ. A Gat. πάλιν τὰ ἑαυτοῦ πάθη A 13 περιγραφὰς Cas. 15 ἀναπολιτέον A 17 τούτῳ] τοῦτο A 21 νῦν γλωσσήματα A 23 οὐολόγεσος Mo 2 Λεοννάτος corr. Rend. μετ' ὀλίγον Schultz 24 σκηπιὼν Mo 2 25 καθ' ὕ μυθώδη A 27–8 αἴαστοι ἄποιστοι A

ἐστι περὶ ὃ δεῖ σπουδὴν εἰσφέρεσθαι; ἓν τοῦτο·—διάνοια δικαία καὶ πράξεις κοινωνικαὶ καὶ λόγος, οἷος μήποτε διαψεύσασθαι, καὶ διάθεσις ἀσπαζομένη πᾶν τὸ συμβαῖνον ὡς ἀναγκαῖον, ὡς γνώριμον, ὡς ἀπ' ἀρχῆς τοιαύτης καὶ πηγῆς ῥέον.

34 Ἑκὼν σεαυτὸν τῇ Κλωθοῖ συνεπιδίδου παρέχων συννῆσαι οἵστισί ποτε πράγμασι βούλεται.

35 Πᾶν ἐφήμερον, καὶ τὸ μνημονεῦον καὶ τὸ μνημονευόμενον.

36 Θεώρει διηνεκῶς πάντα κατὰ μεταβολὴν γινόμενα καὶ ἐθίζου ἐννοεῖν, ὅτι οὐδὲν οὕτως φιλεῖ ἡ τῶν ὅλων φύσις ὡς τὸ τὰ ὄντα μεταβάλλειν καὶ ποιεῖν νέα ὅμοια. σπέρμα γὰρ τρόπον τινὰ πᾶν τὸ ὂν τοῦ ἐξ αὐτοῦ ἐσομένου, σὺ δὲ μόνα σπέρματα φαντάζῃ τὰ εἰς γῆν ἢ μήτραν καταβαλλόμενα, τοῦτο δὲ λίαν ἰδιωτικόν.

37 Ἤδη τεθνήξῃ καὶ οὔπω οὔτε ἁπλοῦς οὔτε ἀτάραχος οὔτε ἀνύποπτος τοῦ βλαβῆναι ἂν ἔξωθεν οὔτε ἵλεως πρὸς πάντας οὔτε τὸ φρονεῖν ἐν μόνῳ τῷ δικαιοπραγεῖν τιθέμενος.

38 Τὰ ἡγεμονικὰ αὐτῶν διάβλεπε καὶ τοὺς φρονίμους, οἷα μὲν φεύγουσιν, οἷα δὲ διώκουσιν.

39 Ἐν ἀλλοτρίῳ ἡγεμονικῷ κακὸν σὸν οὐχ ὑφίσταται οὐδὲ μὴν ἔν τινι τροπῇ καὶ ἑτεροιώσει τοῦ περιέχοντος. ποῦ οὖν; ὅπου τὸ περὶ κακῶν ὑπολαμβάνον σοί ἐστι. τοῦτο οὖν μὴ ὑπολαμβανέτω καὶ πάντα εὖ ἔχει. κἂν τὸ ἐγγυτάτω αὐτοῦ, τὸ σωμάτιον, τέμνηται, καίηται, διαπυίσκηται, σήπηται, ὅμως τὸ ὑπολαμβάνον περὶ τούτων μόριον ἡσυχαζέτω· τουτέστι, κρινέτω μήτε κακόν τι εἶναι μήτε ἀγαθόν, ὃ ἐπίσης δύναται κακῷ ἀνδρὶ καὶ ἀγαθῷ συμβαίνειν. ὃ γὰρ ⟨καὶ τῷ παρὰ φύσιν⟩ καὶ τῷ κατὰ φύσιν βιοῦντι ἐπίσης συμβαίνει, τοῦτο οὔτε κατὰ φύσιν ἐστὶν οὔτε παρὰ φύσιν.

40 Ὡς ἓν ζῷον τὸν κόσμον, μίαν οὐσίαν καὶ ψυχὴν μίαν | ἐπέχον, συνεχῶς ἐπινοεῖν καὶ πῶς εἰς αἴσθησιν μίαν τὴν τούτου πάντα

---

27 incipit 354 v ἐπέχον

1–4 Mo 2, 7–12 D 1 ὃ δὴ A Mo 2 2 μήτε A: μήδε Mo 2 διαψεύδεσθαι Mo 2 4 τῆς αὐτῆς Menag. (eodem) καὶ τῆς γῆς A 5 Κλωθὼ A 8 γινόμενα γίνεται P ⟨ὡς⟩ πάντα κατὰ μ. γινόμενα γίνεται Cor. 11 φαντάζει P 12 τοῦτο . . . ἰδιωτικόν om. D 13 ἁπλῶς A 16 τοὺς φρονήμους A: τὰς φροντίδας Gat.: ⟨ἴδε⟩ καὶ τοὺς φ. Kron. 18 κακὸν ὃ ὂν A μὲν corr. Gat. 21 σωμάτων P (corpus) 22 διαπυίσκητω A 23 τοιοῦτόν ἐστι (hoc est) corr. Gat. 24–25 inser. Sch. ⟨τῷ παρὰ φύσιν⟩ Gat. 25–26 οὔτε τοῦτο P 27 ἐφέπον Rend.

ἀναδίδοται καὶ πῶς ὁρμῇ μιᾷ πάντα πράσσει καὶ πῶς πάντα πάντων τῶν γινομένων συναίτια καὶ οἷα τις ἡ σύννησις καὶ συμμήρυσις.

41 Ψυχάριον εἶ βαστάζον νεκρόν, ὡς Ἐπίκτητος ἔλεγεν.

42 Τοῖς ἐν μεταβολῇ γινομένοις οὐδέν ἐστι κακόν, ὡς οὐδὲ ἀγαθὸν ⟨τοῖς⟩ ἐκ μεταβολῆς ὑφισταμένοις.

43 Ποταμός τίς ἐστι τῶν γινομένων καὶ ῥεῦμα βίαιον ὁ αἰών· ἅμα τε γὰρ ὤφθη ἕκαστον, καὶ παρενήνεκται καὶ ἄλλο παραφέρεται, τὸ δὲ ἐνεχθήσεται.

44 Πᾶν τὸ συμβαῖνον οὕτως σύνηθες καὶ γνώριμον ὡς τὸ ῥόδον ἐν τῷ ἔαρι καὶ ὀπώρα ἐν τῷ θέρει· τοιοῦτον γὰρ καὶ νόσος καὶ θάνατος καὶ βλασφημία καὶ ἐπιβουλὴ καὶ ὅσα τοὺς μωροὺς εὐφραίνει ἢ λυπεῖ.

45 Τὰ ἑξῆς ἀεὶ τοῖς προηγησαμένοις οἰκείως ἐπιγίνεται· οὐ γὰρ οἷον καταρίθμησίς τίς ἐστιν ἀπηρτημένων καὶ μόνον τὸ κατηναγκασμένον ἔχουσα, ἀλλὰ συνάφεια εὔλογος· καὶ ὥσπερ συντέτακται συνηρμοσμένως τὰ ὄντα, οὕτως τὰ γινόμενα οὐ διαδοχὴν ψιλήν, ἀλλὰ θαυμαστήν τινα οἰκειότητα ἐμφαίνει.

46 Ἀεὶ τοῦ Ἡρακλειτείου μεμνῆσθαι, ὅτι γῆς θάνατος ὕδωρ γενέσθαι καὶ ὕδατος θάνατος ἀέρα γενέσθαι καὶ ἀέρος πῦρ καὶ ἔμπαλιν. μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου, ᾗ ἡ ὁδὸς ἄγει· καὶ ὅτι, ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι, λόγῳ τῷ τὰ ὅλα διοικοῦντι, τούτῳ διαφέρονται· καὶ οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς

3 Epict. *Fr.* 26 Sch., 176 Schw. cf. M. Anton. ix. 24 *τὴν φύσιν παντὸς τοῦ σώματος τί σοι δοκεῖ ἔχειν καὶ ὀχεῖν ἄλλο ἢ ψυχή;* Pl. *Crat.* 400 a *μὴ γὰρ ἄλλο τι νοήσῃς ἕκαστον ἡμῶν ποιεῖν ἢ νεκροφορεῖν, τὸ νεκρὸν . . . σῶμα ἐγειρούσης καὶ ἀμοχθὶ φερούσης τῆς ψυχῆς* Philo, i. 101 M. 6 *ποταμοῖσι τοῖσι αὐτοῖσι ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν, εἰμέν τε καὶ οὐκ εἴμεν* Heracl. *Fr.* 49 a D, 81 B *ποταμοῦ ῥοῇ ἀπεικάζων (Ἡράκλειτος) τὰ ὄντα* Pl. *Crat.* 402 a 17 Heracl. *Fr.* 76 D, 25 B (*Test.*); cf. *Ζῇ πῦρ τὸν γῆς θάνατον καὶ ἀὴρ ζῇ τὸν πυρὸς θάνατον· ὕδωρ ζῇ τὸν ἀέρος θάνατον, γῆ τὸν ὕδατος Fr.* 25 B, Max. Tyr. 41. 4, p. 489; *Ἡρ. ἐκ τούτων συνιστάμενος τοὺς λόγους ὧδέ πως γράφει· ψυχῇσι θάνατος ὕδωρ γενέσθαι, ὕδατι δὲ θ. γῆν γενέσθαι, ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή* Clem. Alex. *Strom.*, p. 746; Heracl. *Fr.* 36 D, 68 B 19 Heracl. *Fr.* 71 D, 73 B (*Test.*); cf. *ἀνὴρ ὁκότ' ἂν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, οὐκ ἐπαίων ὅκη βαίνει, ὑγρὴν τὴν ψυχὴν ἔχων Fr.* 117 D, 73 B; M. Anton. vi. 22 20 Heracl. *Fr.* 72 D, 93 B [*τῷ τὰ ὅλα διοικοῦντι*] 21 Heracl. *Fr.* 72 D, 5 B (*Test.*); cf. *οὐ φρονέουσι τοιαῦτα πολλοὶ ὁκόσοις ἐγκυρεῦσιν οὐδὲ μαθόντες γινώσκουσι, ἑωυτοῖσι δὲ δοκέουσι* Heracl. Clem. Alex. *Strom.*, p. 432, *Fr.* 17 D, 5 B

6–8, 17–21 D, 17–19 Mo 1 4 οἷς A *Οὐδέν ἐστι κ. τοῖς ἐ. μ. γ.* P 5 ⟨τοῖς⟩ Cor. 6 τις ἐκ corr. Nauck 13 ἀπηρτημένως corr. Gat. καὶ secl. Schultz² 15–16 οὐ . . . τινα om. A 19 οἷ ἡ ὁδὸς D 21 ἐγκυροῦσι om. D: ἀκυροῦσαν A

ξένα φαίνεται· καὶ ὅτι οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν, καὶ γὰρ καὶ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν· καὶ ὅτι οὐ δεῖ ⟨ὡς⟩ παῖδας τοκεώνων, τουτέστι κατὰ ψιλόν, καθότι παρειλήφαμεν.

47 Ὥσπερ εἴ τίς σοι θεῶν εἶπεν, ὅτι αὔριον τεθνήξῃ ἢ πάντως γε εἰς τρίτην, οὐκέτ' ἂν παρὰ μέγα ἐποιοῦ τὸ εἰς τρίτην μᾶλλον ἢ αὔριον, εἴ γε μὴ ἐσχάτως ἀγεννὴς εἶ· (πόσον γάρ ἐστι | τὸ μεταξύ;) οὕτως καὶ τὸ εἰς πολλοστὸν ἔτος μᾶλλον ἢ αὔριον μηδὲν μέγα εἶναι νόμιζε.

48 Ἐννοεῖν συνεχῶς πόσοι μὲν ἰατροὶ ἀποτεθνήκασι, πολλάκις τὰς ὀφρῦς ὑπὲρ τῶν ἀρρώστων συσπάσαντες· πόσοι δὲ μαθηματικοί, ἄλλων θανάτους ὥς τι μέγα προειπόντες· πόσοι δὲ φιλόσοφοι, περὶ θανάτου ἢ ἀθανασίας μυρία διατεινάμενοι· πόσοι δὲ ἀριστεῖς, πολλοὺς ἀποκτείναντες· πόσοι δὲ τύραννοι, ἐξουσίᾳ ψυχῶν μετὰ δεινοῦ φρυάγματος ὡς ἀθάνατοι κεχρημένοι· πόσαι δὲ πόλεις ὅλαι, ἵν' οὕτως εἴπω, τεθνήκασιν, Ἑλίκη καὶ Πομπήιοι καὶ Ἡρκλᾶνον καὶ
2 ἄλλαι ἀναρίθμητοι. ἔπιθι δὲ καὶ ὅσους οἶδας, ἄλλον ἐπ' ἄλλῳ· ὁ μὲν τοῦτον κηδεύσας εἶτα ἐξετάθη, ὁ δὲ ἐκεῖνον, πάντα δὲ ἐν βραχεῖ. τὸ γὰρ ὅλον, κατιδεῖν ἀεὶ τὰ ἀνθρώπινα ὡς ἐφήμερα καὶ εὐτελῆ καὶ ἐχθὲς μὲν μυξάριον, αὔριον δὲ τάριχος ἢ τέφρα. τὸ ἀκαριαῖον οὖν τοῦτο τοῦ χρόνου κατὰ φύσιν διελθεῖν καὶ ἴλεων καταλῦσαι, ὡς ἂν εἰ ἐλαία πέπειρος γενομένη ἔπιπτεν, εὐφημοῦσα τὴν ἐνεγκοῦσαν καὶ χάριν εἰδυῖα τῷ φύσαντι δένδρῳ.

49 Ὅμοιον εἶναι τῇ ἄκρᾳ, ἢ διηνεκῶς τὰ κύματα προσρήσσεται· ἡ δὲ ἕστηκε καὶ περὶ αὐτὴν κοιμίζεται τὰ φλεγμήναντα τοῦ ὕδατος.

---

1 Heracl. *Fr.* 73 D, 94 B; cf. τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες ποιέουσι, ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται *Fr.* 1 D, 2 B 2 Heracl. *Fr.* 74 D, 5 B (*Test.*); cf. *Fr.* 79 D, 97 B 6 incipit 355 r τὸ μεταξύ;

8 ἐνταῦθ' ἔνεστ' ὀστᾶ τε καὶ κούφη κόνις
ἀνδρῶν βασιλέων καὶ τυράννων καὶ σοφῶν
καὶ μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν
αὐτῶν τε δόξῃ κἀπὶ κάλλει σωμάτων.
κᾆτ' οὐδὲν αὐτοῖς τῶνδ' ἐπήρκεσεν· χρόνον
κοινὸν τὸν ἅδην ἔσχον οἱ πάντες βροτοί Menand. *Fr.* 538

22 ἠύτε πέτρη
ἠλίβατος μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα,
ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν *Il.* xv. 618

1–7 D 2 καὶ γὰρ τότε P ⟨ὡς⟩ Cas. 3 τοκέων ὧν corr. Rend. 4 γε om. P 7 εἰς τὸ D 9 ὀφροὺς A 14 Ἑλίκοι A Ηρακλάνον P: Ἡ. Bas. 17 τὸ γὰρ ὅλα corr. Cas. 19 τούτου A ἥλεων P corr. Bas. 20 ἂν ἡ ἐλ. A 21 δένδρῳ secl. Wil.

"Ἀτυχὴς ἐγώ, ὅτι τοῦτό μοι συνέβη." οὐμενοῦν ἀλλ' εὐτυχὴς ἐγώ, ὅτι τούτου μοι συμβεβηκότος ἄλυπος διατελῶ, οὔτε ὑπὸ παρόντος θρανόμενος οὔτε ἐπιὸν φοβούμενος. συμβῆναι μὲν γὰρ τὸ τοιοῦτο παντὶ ἐδύνατο, ἄλυπος δὲ οὐ πᾶς ἐπὶ τούτῳ ἂν διετέλεσε. διὰ τί οὖν ἐκεῖνο μᾶλλον ἀτύχημα ἢ τοῦτο εὐτύχημα; λέγεις δὲ ὅλως ἀτύχημα ἀνθρώπου, ὃ οὐκ ἔστιν ἀπότευγμα τῆς φύσεως τοῦ ἀνθρώπου; ἀπότευγμα δὲ τῆς φύσεως τοῦ ἀνθρώπου εἶναί σοι δοκεῖ σοι,
2 ὃ μὴ παρὰ τὸ βούλημα τῆς φύσεως αὐτοῦ ἐστι; τί οὖν; τὸ βούλημα μεμάθηκας· μήτι οὖν τὸ συμβεβηκὸς τοῦτο κωλύει σε δίκαιον εἶναι, μεγαλόψυχον, σώφρονα, ἔμφρονα, ἀπρόπτωτον, ἀδιάψευστον, αἰδήμονα, ἐλεύθερον, τἆλλα, ὧν συμπαρόντων ἡ φύσις ἡ τοῦ ἀνθρώπου ἀπέχει τὰ ἴδια; μέμνησο λοιπὸν ἐπὶ παντὸς τοῦ εἰς λύπην σε προαγομένου τούτῳ | χρῆσθαι τῷ δόγματι· ὅτι οὐχὶ τοῦτο ἀτύχημα, ἀλλὰ τὸ φέρειν αὐτὸ γενναίως εὐτύχημα.

50 Ἰδιωτικὸν μέν, ὅμως δὲ ἀνυστικὸν βοήθημα πρὸς θανάτου καταφρόνησιν ἡ ἀναπόλησις τῶν γλίσχρως ἐνδιατριψάντων τῷ ζῆν. τί οὖν αὐτοῖς πλέον ἢ τοῖς ἀώροις; πάντως πού ποτε κεῖνται, Καιδικιανός, Φάβιος, Ἰουλιανός, Λέπιδος ἢ εἴ τις τοιοῦτος, οἳ πολλοὺς ἐξήνεγκαν, εἶτα ἐξηνέχθησαν· ὅλον, μικρόν ἐστι τὸ διάστημα καὶ τοῦτο δι' ὅσων καὶ μεθ' οἵων ἐξαντλούμενον καὶ ἐν οἵῳ σωματίῳ; μὴ οὖν ὡς πρᾶγμα . . .· βλέπε γὰρ ὀπίσω τὸ ἀχανὲς τοῦ αἰῶνος καὶ τὸ πρόσω ἄλλο ἄπειρον. ἐν δὴ τούτῳ τί διαφέρει ὁ τριήμερος τοῦ τριγερηνίου;

51 Ἐπὶ τὴν σύντομον ἀεὶ τρέχε· σύντομος δὲ ἡ κατὰ φύσιν. ὥστε κατὰ τὸ ὑγιέστατον πᾶν λέγειν καὶ πράσσειν, ἀπαλλάσσει γὰρ ἡ τοιαύτη πρόθεσις κόπων καὶ στρατείας καὶ πάσης οἰκονομίας καὶ κομψείας.

13 incipit 355 v χρῆσθαι 22 Suid. γερήνιος: ἔντιμος γέρων ἢ ἐν τῇ Γερήνῃ 25 κάματός ἐστι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθαι Heracl. 84 b D, 82 B ἀβίωτος ὁ βίος, στρατεία, λειτουργία, πολιτικὰ πράγματα, σχολάσαι αὐτῷ οὐκ ἔστιν Teles, Stob. *Ecl.* iv, p. 816

1–12 X, 15–18 D 2 ὑπὸ τοῦ παρόντος X 3 θραττόμενος Cor. οὐ τὸ ἐπιὸν A: οὔτε τὸ ἐπιὸν X 4 πᾶς . . . οὐκ ἂν δ. Par. 4 7 εἶναί σοι δοκεῖ P 8 τί οὖν τὸ βούλημα; μεμάθηκας Bas. 9 κωλύσει V 3, 4, 5 10–11 ἔμφρονα, ἀψευδῆ, αἰδήμονα, ἐλευθέριον X 10 ἀπρόσπτωτον A 11 ἃ συμπαρόντων P A corr. Cas: ὧν παρόντων X φύσις τοῦ ἀ. X 12 ἐπέχει A 13 χρῆσθαι τῷ πράγματι A οὐχ ὅτι corr. Gat. 15 ἀνυτικὸν P Ὅρος θάνατου A D novum caput hinc instituentes 15–16 καταφρόνησις ἢ ἀ. D 16 ἀναπόλυσις A 17 Καδικιανός corr. Reiske 19 μικκόν corr. Gat. δι' οἵων Rich. 21 lacunam indicavi, fort. ⟨δοκεῖν⟩, cf. v. 29 21 καὶ πρόσω τὸ Leop. maluerit 23 τρέχει A 24 ὑγιαίστατον P corr. Bas. 25 στραγγείας Schweigh. unius versus intervallum post cap. 51 A

ΒΙΒΛΙΟΝ Ε

1 Ὄρθρου, ὅταν δυσόκνως ἐξεγείρῃ, πρόχειρον ἔστω ὅτι ἐπὶ ἀνθρώπου ἔργον ἐγείρομαι· ἔτι οὖν δυσκολαίνω, εἰ πορεύομαι ἐπὶ τὸ ποιεῖν ὧν ἕνεκεν γέγονα καὶ ὧν χάριν προῆγμαι εἰς τὸν κόσμον; ἢ ἐπὶ τοῦτο κατεσκεύασμαι, ἵνα κατακείμενος ἐν στρωματίοις ἐμαυτὸν θάλπω; "ἀλλὰ τοῦτο ἥδιον." πρὸς τὸ ἥδεσθαι οὖν γέγονας, ὅλως δὲ πρὸς πεῖσιν, οὐ πρὸς ἐνέργειαν; οὐ βλέπεις τὰ φυτάρια, τὰ στρουθάρια, τοὺς μύρμηκας, τοὺς ἀράχνας, τὰς μελίσσας τὸ ἴδιον ποιούσας, τὸ καθ' αὑτὰς συγκοσμούσας κόσμον; ἔπειτα σὺ
2 οὐ θέλεις τὰ ἀνθρωπικὰ ποιεῖν· οὐ τρέχεις ἐπὶ τὸ κατὰ τὴν σὴν φύσιν· "ἀλλὰ δεῖ καὶ ἀναπαύεσθαι." δεῖ· φημὶ κἀγώ· ἔδωκε μέντοι καὶ τούτου μέτρα ἡ φύσις, ἔδωκε μέντοι καὶ τοῦ ἐσθίειν καὶ πίνειν, καὶ ὅμως σὺ ὑπὲρ τὰ μέτρα, ὑπὲρ τὰ ἀρκοῦντα προχωρεῖς, ἐν δὲ ταῖς
3 πράξεσιν οὐκ ἔτι, ἀλλ' ἐντὸς τοῦ δυνατοῦ. οὐ γὰρ φιλεῖς ἑαυτόν, ἐπεί τοι καὶ τὴν φύσιν ἄν σου καὶ τὸ βούλημα ταύτης ἐφίλεις. ἄλλοι δὲ τὰς τέχνας ἑαυτῶν φιλοῦντες συγκατατήκονται τοῖς κατ' αὐτὰς ἔργοις ἄλουτοι καὶ ἄσιτοι· σὺ τὴν φύσιν τὴν σαυτοῦ ἔλασσον τιμᾷς ἢ ὁ τορευτὴς τὴν τορευτικὴν ἢ ὁ ὀρχηστὴς τὴν ὀρχηστικὴν ἢ ὁ | φιλάργυρος τὸ ἀργύριον ἢ ὁ κενόδοξος τὸ δοξάριον. καὶ οὗτοι, ὅταν προσπαθῶσιν, οὔτε φαγεῖν οὔτε κοιμηθῆναι θέλουσι μᾶλλον ἢ ταῦτα συναύξειν, πρὸς ἃ διαφέρονται· σοὶ δὲ αἱ κοινωνικαὶ πράξεις εὐτελέστεραι φαίνονται καὶ ἧσσονος σπουδῆς ἄξιαι.

2 Ὡς εὔκολον ἀπώσασθαι καὶ ἀπαλεῖψαι πᾶσαν φαντασίαν [τὴν] ὀχληρὰν ἢ ἀνοίκειον καὶ εὐθὺς ἐν πάσῃ γαλήνῃ εἶναι.

3 Ἄξιον ἑαυτὸν κρῖνε παντὸς λόγου καὶ ἔργου τοῦ κατὰ φύσιν καὶ

18 incipit 356 r φιλάργυρος

1–24 D 2 τί οὖν Menag. 4 κατακείμενος τοῖς στρ. P 6 ὅλως δὲ] ὦ λῷστε Wil. σὺ πρὸς πεῖσιν ἢ Four.: οὐ πρὸς ποίησιν ἢ Wil.: οὐ πρὸς πεῖσιν ἢ A D: οὐ πρὸς ποιεῖν ἢ P (ad voluptatem non ad agendum) Xyl. secutus correxi 7 τὰ μέλισσας A 8 τὸ ἴδιον π. om. P τὸν καθ' αὑτὰς P συγκροτούσας A D ἔπειτα om. P 10 δεῖ alt. P om. A D: φημὶ κἀγώ A D om. P: δεῖ· φημὶ κἀγώ Sch. μέντοι om. P 11 ἔϋειν A 12 οὐ προχωρεῖς A D 12–13 ἐν ταῖς πράξεσι δὲ οὐκ ἔτι P: οὐδὲ ταῖς πράξεσιν οὐκέτι A D corr. Schultz 13 ἑαυτὸν A: σεαυτόν P D 15 ἄλλοι τε P: ἀλλ' οἵ γε Cor. 16 ἄλλου τοι A σὺ δὲ Cor. 17 τορνευτὴς P τορνευτικὴν P ὀρχιστικὴν A 18 καίτοι οὗτοι Cor. 19 προσπατῶσιν P 20 πρὸς ἃ φέρονται P: προσδιαφέρονται A D corr. Schultz 20–1 σοὶ . . . φαίνονται om. A D 22 τὴν secl. Cor. 24 κρίναι A D

μή σε παρειπάτω ἡ ἐπακολουθοῦσά τινων μέμψις ἢ λόγος, ἀλλά, εἰ καλὸν πεπρᾶχθαι ἢ εἰρῆσθαι, μὴ σεαυτὸν ἀπαξίου. ἐκεῖνοι μὲν γὰρ ἴδιον ἡγεμονικὸν ἔχουσι καὶ ἰδίᾳ ὁρμῇ χρῶνται· ἃ σὺ μὴ περιβλέπου, ἀλλ' εὐθεῖαν πέραινε ἀκολουθῶν τῇ φύσει τῇ ἰδίᾳ καὶ τῇ κοινῇ, μία δὲ ἀμφοτέρων τούτων ἡ ὁδός.

4 Πορεύομαι διὰ τῶν κατὰ φύσιν, μέχρι πεσὼν ἀναπαύσωμαι ἐναποπνεύσας μὲν τούτῳ, ἐξ οὗ καθ' ἡμέραν ἀναπνέω, πεσὼν δὲ ἐπὶ τοῦτο, ἐξ οὗ καὶ τὸ σπερμάτιον ὁ πατήρ μου συνέλεξε καὶ τὸ αἱμάτιον ἡ μήτηρ καὶ τὸ γαλάκτιον ἡ τροφός· ἐξ οὗ καθ' ἡμέραν τοσούτοις ἔτεσι βόσκομαι καὶ ἀρδεύομαι· ὃ φέρει με πατοῦντα καὶ εἰς τοσαῦτα ἀποχρώμενον ἑαυτῷ.

5 Δριμύτητά σου οὐκ ἔχουσι θαυμάσαι· ἔστω, ἀλλὰ ἕτερα πολλά, ἐφ' ὧν οὐκ ἔχεις εἰπεῖν· οὐ γὰρ πέφυκα. ἐκεῖνα οὖν παρέχου, ἅπερ ὅλα ἐστὶν ἐπὶ σοί, τὸ ἀκίβδηλον, τὸ σεμνόν, τὸ φερέπονον, τὸ ἀφιλήδονον, τὸ ἀμεμψίμοιρον, τὸ ὀλιγοδεές, τὸ εὐμενές, τὸ ἐλεύθερον, τὸ ἀπέρισσον, τὸ ἀφλύαρον, τὸ μεγαλεῖον. οὐκ αἰσθάνῃ πόσα ἤδη παρέχεσθαι δυνάμενος, ἐφ' ὧν οὐδεμία ἀφυίας καὶ ἀνεπιτηδειότητος πρόφασις, ὅμως ἔτι κάτω μένεις ἑκών; ἢ καὶ γογγύζειν καὶ γλισχρεύεσθαι καὶ κολακεύειν καὶ τὸ σωμάτιον καταιτιᾶσθαι καὶ ἀρεσκεύεσθαι καὶ περπερεύεσθαι καὶ τοσαῦτα ῥιπτάζεσθαι τῇ ψυχῇ διὰ τὸ ἀφυῶς κατεσκευάσθαι ἀναγκάζῃ; οὐ μὰ τοὺς θεούς, ἀλλὰ τούτων μὲν πάλαι ἀπηλλάχθαι ἐδύνασο, μόνον δέ, εἰ ἄρα, ὡς βραδύτερος καὶ δυσπαρακολουθητότερος καταγινώσκεσθαι. καὶ τοῦτο δὲ ἀσκητέον μὴ παρενθυμουμένῳ μηδὲ ἐμφιληδοῦντι τῇ νωθείᾳ.

---

1 νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα μή σε παρείπῃ
ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος *Il.* i. 555

3 τοῦ λόγου δ' ἐόντος ξυνοῦ ζώουσιν οἱ πολλοὶ ὡς ἰδίην ἔχοντες φρόνησιν Heracl. 2 D, 92 B 4 vid. *Test.* x. 11; cf. vii. 55 fin. 5 γναφέων ὁδὸς εὐθεῖα καὶ σκολιὴ μία ἐστὶ καὶ ἡ αὐτή Heracl. 59 D, 50 B

1–25 D 1 (neque te avertat) περισπάτω Cor. ἡ ἐπακολουθήσει A: εἰ ἐπακολουθήσει D, at ἡ corr. man. rec. 3 χρώντα A 5 τούτων ἡ] τουτωνὶ Rad. ἡ secl. Cor. 6 ἀναπαύσομαι corr. Rich. 7 τοῦτο A D 8 τούτῳ P συνέλλεξεν A D 11 αὐτῷ Cor. 14 ἐν σοὶ P τὸ φερέπονον om. A D 15 ἀμεμψήμοιρον P 16 ἀμεγαλεῖον Rend. αἰσθάνει P 17 οὐδὲ μίας A D οὐδεμία ⟨σοι⟩ Sch. 18 γογγίζειν A D 19 καὶ τὸ σ. καταιτιᾶσθαι ad lin. 21 post ψυχῇ transf. Morus 20 ἀρέσκεσθαι P περιπερεύεσθαι A 22 ἀπηλάχθαι A 24 ἐμφιληδονοῦντι Xyl. Bas. 25 νοθείᾳ P

6 Ὁ μέν τίς ἐστιν, ὅταν τι δεξιὸν περί τινα πράξῃ, πρόχειρος καὶ λογίσασθαι | αὐτῷ τὴν χάριν. ὁ δὲ πρὸς μὲν τοῦτο οὐ πρόχειρος, ἀλλὰ μέντοι παρ' ἑαυτῷ ὡς περὶ χρεώστου διανοεῖται καὶ οἶδεν ὃ πεποίηκεν. ὁ δέ τις τρόπον τινὰ οὐδὲ οἶδεν ὃ πεποίηκεν, ἀλλὰ ὅμοιός ἐστιν ἀμπέλῳ βότρυν ἐνεγκούσῃ καὶ μηδὲν ἄλλο προσεπιζη-
2 τούσῃ μετὰ τὸ ἅπαξ τὸν ἴδιον καρπὸν ἐνηνοχέναι. ἵππος δραμών, κύων ἰχνεύσας, μέλισσα μέλι ποιήσασα, ἄνθρωπος δ' εὖ ποιήσας οὐκ ἐπίσταται, ἀλλὰ μεταβαίνει ἐφ' ἕτερον, ὡς ἄμπελος ἐπὶ τὸ πάλιν ἐν τῇ ὥρᾳ τὸν βότρυν ἐνεγκεῖν. ἐν τούτοις οὖν δεῖ εἶναι τοῖς τρόπον τινὰ ἀπαρακολουθήτως αὐτὸ ποιοῦσι. "ναί· ἀλλ' αὐτὸ τοῦτο δεῖ παρακολουθεῖν· ἴδιον γάρ," φησί, "τοῦ κοινωνικοῦ τὸ αἰσθάνεσθαι ὅτι κοινωνικῶς ἐνεργεῖ, καὶ νὴ Δία βούλεσθαι καὶ τὸν κοινωνὸν αἰσθέσθαι." "ἀληθὲς μέν ἐστιν ὃ λέγεις, τὸ δὲ νῦν λεγόμενον παρεκδέχῃ· διὰ τοῦτο ἔσῃ εἷς ἐκείνων ὧν πρότερον ἐπεμνήσθην· καὶ γὰρ ἐκεῖνοι λογικῇ τινι πιθανότητι παράγονται. ἐὰν δὲ θελήσῃς συνεῖναι τί ποτέ ἐστι τὸ λεγόμενον, μὴ φοβοῦ, μὴ παρὰ τοῦτο παραλίπῃς τι ἔργον κοινωνικόν."

7 Εὐχὴ Ἀθηναίων·

ὗσον, ὗσον, ὦ φίλε
Ζεῦ, κατὰ τῆς ἀρούρας
τῆς Ἀθηναίων
καὶ τῶν πεδίων.

ἤτοι οὐ δεῖ εὔχεσθαι ἢ οὕτως ἁπλῶς καὶ ἐλευθέρως.

8 Ὁποῖόν τί ἐστι τὸ λεγόμενον, ὅτι· συνέταξεν ὁ Ἀσκληπιὸς τούτῳ ἱππασίαν ἢ ψυχρολουσίαν ἢ ἀνυποδησίαν, τοιοῦτόν ἐστι καὶ τό· συνέταξε τούτῳ ἡ τῶν ὅλων φύσις νόσον ἢ πήρωσιν ἢ ἀποβολὴν ἢ ἄλλο τι τῶν τοιούτων. καὶ γὰρ ἐκεῖ τὸ συνέταξε τοιοῦτόν τι σημαίνει· ἔταξε τούτῳ τοῦτο ὡς κατάλληλον εἰς ὑγίειαν, καὶ

---

2 incipit 356 v αὐτῷ

1–17 D, 24–8 X 1 ἐστιν secl. Wil. 2 πρὸς τοῦτο μὲν P 3 ἄλλως P ἀλλ' ὡς A D corr. Gat.: αὐτὸς Mor. 6 ὡς ἵππος A D 7 δ' secl. Schultz 8 ἐπισπᾶται A D: ἐπιβοᾶται P correxi εἰ ἐφ' A 10 ποιοῦσι; P 11 δεῖ om. A D 13 τοῦ κ. A D 14 παρενδέχῃ A D διὰ τὸ οὕτω A D εἰς A 16 συνιέναι Gat. λεγόμενον· φοβοῦ A D 17 τι] τὸ A D 22 τοῦ πεδίου Wil. 24 τί om. P X 26 τούτων A πείρωσιν A 28 τούτῳ om. A: τοῦτο πρὸς τοῦτο P πρὸς ὑγ. X

ἐνταῦθα τὸ συμβαῖνον ἑκάστῳ τέτακταί πως αὐτῷ ⟨ὡς⟩ κατάλ-
2 ληλον εἰς τὴν εἱμαρμένην. οὕτως γὰρ καὶ συμβαίνειν αὐτὰ ἡμῖν
λέγομεν ὡς καὶ τοὺς τετραγώνους λίθους ἐν τοῖς τείχεσιν ἢ ἐν ταῖς
πυραμίσι συμβαίνειν οἱ τεχνῖται λέγουσι, συναρμόζοντας ἀλλήλοις
τῇ ποιᾷ συνθέσει. ὅλως γὰρ ἁρμονία ἐστὶ μία καὶ ὥσπερ ἐκ πάντων
τῶν σωμάτων ὁ κόσμος τοιοῦτον σῶμα συμπληροῦται, οὕτως ἐκ
πάντων | τῶν αἰτίων ἡ εἱμαρμένη τοιαύτη αἰτία συμπληροῦται.
3 νοοῦσι δὲ ὃ λέγω καὶ οἱ τέλεον ἰδιῶται· φασὶ γάρ· " τοῦτο ἔφερεν
αὐτῷ ". οὐκοῦν τοῦτο τούτῳ ἐφέρετο καὶ τοῦτο τούτῳ συνετάττετο·
δεχώμεθα οὖν αὐτὰ ὡς ἐκεῖνα ⟨ἃ⟩ ὁ Ἀσκληπιὸς συντάττει. πολλὰ
γοῦν καὶ ἐν ἐκείνοις ἐστὶ τραχέα, ἀλλὰ ἀσπαζόμεθα τῇ ἐλπίδι τῆς
4 ὑγιείας. τοιοῦτόν τί σοι δοκείτω ἄνυσις καὶ συντέλεια τῶν τῇ
κοινῇ φύσει δοκούντων, οἷον ἡ σὴ ὑγίεια, καὶ οὕτως ἀσπάζου πᾶν
τὸ γινόμενον, κἂν ἀπηνέστερον δοκῇ, διὰ τὸ ἐκεῖσε | ἄγειν, ἐπὶ τὴν
τοῦ κόσμου ὑγίειαν καὶ τὴν τοῦ Διὸς εὐοδίαν καὶ εὐπραγίαν. οὐ
γὰρ ἂν τοῦτό τινι ἔφερεν, εἰ μὴ τῷ ὅλῳ συνέφερεν· οὐδὲ γὰρ ἡ
τυχοῦσα φύσις φέρει τι, ὃ μὴ τῷ διοικουμένῳ ὑπ' αὐτῆς κατάλληλόν
5 ἐστιν. οὐκοῦν κατὰ δύο λόγους στέργειν χρὴ τὸ συμβαῖνόν σοι· καθ'
ἕνα μέν, ὅτι σοὶ ἐγίνετο καὶ σοὶ συνετάττετο καὶ πρὸς σέ πως εἶχεν,
ἄνωθεν ἐκ τῶν πρεσβυτάτων αἰτίων συγκλωθόμενον· καθ' ἕτερον
δέ, ὅτι τῷ τὸ ὅλον διοικοῦντι τῆς εὐοδίας καὶ τῆς συντελείας καὶ
νὴ Δία τῆς συμμονῆς αὐτῆς καὶ τὸ ἰδίᾳ εἰς ἕκαστον ἦκον αἴτιόν ἐστι.
πηροῦται γὰρ τὸ ὁλόκληρον, ἐὰν καὶ ὁτιοῦν διακόψῃς τῆς συναφείας
καὶ συνεχείας ὥσπερ τῶν μορίων, οὕτω δὴ καὶ τῶν αἰτίων· διακόπτεις
δέ, ὅσον ἐπὶ σοί, ὅταν δυσαρεστῇς, καὶ τρόπον τινὰ ἀναιρεῖς.

2 Suid. συμβαίνοντα: τὸ συμβαίνειν λέγομεν ὡς τοὺς τετραγώνους λίθους ἐν τοῖς τείχεσιν καὶ ἐν ταῖς πυραμίσι συμβαίνειν οἱ τεχνῖται λέγουσι συναρμόζειν ἀλλήλοις τῇ ποιᾷ θέσει 7 incipit 357 r τῶν

1–25 X 1 πῶς πρὸς αὐτὸ P A ὡς αὐτῷ κατ. Schw. ⟨ὡς⟩ Lofft 2 εἰς] πρὸς X ἡμῖν om. X 3 ἐν pr. om. X ἐν alt. om. P: ἢ ἐν ταῖς πυραμίσι om. X 4 συναρμόζοντες X 7 αἰτιῶν P 8–9 νοοῦσι . . . συνετάττετο om. X 8 φασὶ γοῦν A 9 καὶ τούτῳ συν. A 10 δεχόμεθα A ἐκεῖνα ⟨ἃ⟩ Gat. (illa quae) 12 τοιοῦτον οὖν τί X δοκεῖ Par. 4 14 τὸ ἀπηνέστατον X ἐκεῖσε vel ἐκεῖ σε A: σε om. P: ἐκεῖ σε Rend. 16 τοῦτό τι P A 17 τυχοῦσα om. A X 20 αἰτίων om. A 21 τῷ om. X διοικοῦντι εὐοδίας A εὐοδίας τε X pler. 22 αὐτῆς] αὐτοῦ Reiske καὶ τὸ ἰδίᾳ εἰς ἕκαστον ἦκον om. P A 23 πυροῦται P cod.: τελειοῦται Mo 2 24 δὴ L 2, 3, Par. 4: δὲ P A X αἰτιῶν A 25 ὅσον τὸ ἐπὶ σοί X ἀναιρῇς P A Mo 2 X nonn.

9 Μὴ σικχαίνειν μηδὲ ἀπαυδᾶν μηδὲ ἀποδυσπετεῖν, εἰ μὴ καταπυκνοῦταί σοι τὸ ἀπὸ δογμάτων ὀρθῶν ἕκαστα πράσσειν, ἀλλὰ ἐκκρουσθέντα πάλιν ἐπανιέναι καὶ ἀσμενίζειν, εἰ ⟨σοὶ⟩ τὰ πλείω ἀνθρωπικώτερα, καὶ φιλεῖν τοῦτο, ἐφ' ὃ ἐπανέρχῃ, καὶ μὴ ὡς πρὸς παιδαγωγὸν τὴν φιλοσοφίαν ἐπανιέναι, ἀλλ' ὡς οἱ ὀφθαλμιῶντες πρὸς τὸ σπογγάριον καὶ τὸ ᾠόν, ὡς ἄλλος πρὸς κατάπλασμα, ὡς πρὸς καταιόνησιν. οὕτως γὰρ οὐδὲν ἐπιδείξῃ τὸ πειθαρχεῖν τῷ λόγῳ, ἀλλὰ προσαναπαύσῃ αὐτῷ. μέμνησο δὲ ὅτι φιλοσοφία μόνα, ἃ θέλει ἡ φύσις σου, θέλει· σὺ δὲ ἄλλο ἤθελες οὐ κατὰ φύσιν. τί γὰρ τούτων προσηνέστερον; ἡ γὰρ ἡδονὴ οὐχὶ διὰ τοῦτο σφάλλει; ἀλλὰ θέασαι, εἰ προσηνέστερον μεγαλοψυχία, ἐλευθερία, ἁπλότης, εὐγνω|μοσύνη, ὁσιότης. αὐτῆς γὰρ φρονήσεως τί προσηνέστερον, ὅταν τὸ ἄπταιστον καὶ εὔρουν ἐν πᾶσι τῆς παρακολουθητικῆς καὶ ἐπιστημονικῆς δυνάμεως ἐνθυμηθῇς;

10 Τὰ μὲν πράγματα ἐν τοιαύτῃ τρόπον τινὰ ἐγκαλύψει ἐστίν, ὥστε φιλοσόφοις οὐκ ὀλίγοις οὐδὲ τοῖς τυχοῦσιν ἔδοξε παντάπασιν ἀκατάληπτα εἶναι, πλὴν αὐτοῖς γε τοῖς Στωικοῖς δυσκατάληπτα δοκεῖ· καὶ πᾶσα ἡ ἡμετέρα συγκατάθεσις μεταπτώτη· ποῦ γὰρ ὁ ἀμετάπτωτος; μέτιθι τοίνυν ἐπ' αὐτὰ τὰ ὑποκείμενα ὡς ὀλιγοχρόνια καὶ εὐτελῆ καὶ δυνάμενα ἐν κτήσει κιναίδου ἢ πόρνης ἢ λῃστοῦ εἶναι. μετὰ τοῦτο ἔπιθι ἐπὶ τὰ τῶν συμβιούντων ἤθη, ὧν μόλις ἐστὶ καὶ τοῦ χαριεστάτου ἀνασχέσθαι, ἵνα μὴ λέγω, ὅτι καὶ ἑαυτόν τις μόγις
2 ὑπομένει. ἐν τοιούτῳ οὖν ζόφῳ καὶ ῥύπῳ καὶ τοσαύτῃ ῥύσει τῆς τε οὐσίας καὶ τοῦ χρόνου καὶ τῆς κινήσεως καὶ τῶν κινουμένων τί ποτέ ἐστι τὸ ἐκτιμηθῆναι ἢ τὸ ὅλως σπουδασθῆναι δυνάμενον, οὐδ' ἐπινοῶ. τοὐναντίον γὰρ δεῖ παραμυθούμενον ἑαυτὸν περιμένειν τὴν φυσικὴν λύσιν καὶ μὴ ἀσχάλλειν τῇ διατριβῇ, ἀλλὰ τούτοις μόνοις

12 incipit 357 v -μοσύνη 13 λείως τε καὶ ἀπταίστως καὶ ἀνυσίμως ἔρχεται . . . οἷον ἐλαίου ῥεῦμα ἀψοφητὶ ῥέοντος Pl. *Tht.* 144 b

---

1–27 D 1 εἰ om. D 3–5 καὶ ἀσμενίζειν . . . ἐπανιέναι om. D 3 εἰ σοὶ Reiske: εἰς 7 κατανόησιν A D ἐπιδείξει P: ἔτι δεήσει εἰς τὸ π. Gat.: ἔτι δήξει Cor. 8–9 μόνα θέλει ἃ P: ἃ θέλει scripsi μόνον. ἃ θέλει γὰρ ἡ φύσις σου θέλει οὐδὲ ἄλλο A D οὐ forsan ἢ Gat. 10 διὰ τοῦτο P A D: διὰ τοὺς Bas.: [οὐχὶ] διὰ τοῦδε Rend. σφάλει A 16 ἢ παντ. P: fort. ⟨καὶ⟩ Jack. 17 ἀκατάλειπτα A: εὐκατάληπτα D γε om. A D -λειπτα A 18 ἡμέρα A 19 ὀλιγόχρονα corr. Cas. 22 τις om. A D μόλις Lugd. 23 οὖν om. D ῥήσει P: (fluxu) 24 κινήσεων P corr. Bas. 26 δὴ D ἑαυτῷ D 27 ἀσχαλεῖν A D

προσαναπαύεσθαι· ἐνὶ μὲν τῷ, ὅτι οὐδὲν συμβήσεταί μοι ὃ οὐχὶ κατὰ τὴν τῶν ὅλων φύσιν ἐστίν· ἑτέρῳ δέ, ὅτι ἔξεστί μοι μηδὲν πράσσειν παρὰ τὸν ἐμὸν θεὸν καὶ δαίμονα· οὐδεὶς γὰρ ὁ ἀναγκάσων τοῦτον παραβῆναι.

11 Πρὸς τί ποτε ἄρα νῦν χρῶμαι τῇ ἐμαυτοῦ ψυχῇ; παρ' ἕκαστα τοῦτο ἐπανερωτᾶν ἑαυτὸν καὶ ἐξετάζειν τί μοί ἐστι νῦν ἐν τούτῳ τῷ μορίῳ, ὃ δὴ ἡγεμονικὸν καλοῦσι, καὶ τίνος ἄρα νῦν ἔχω ψυχήν; μήτι παιδίου; μήτι μειρακίου; μήτι γυναικαρίου; μήτι τυράννου; μήτι κτήνους; μήτι θηρίου;

12 Ὁποῖά τινά ἐστι τὰ τοῖς πολλοῖς δοκοῦντα ἀγαθά, κἂν ἐντεῦθεν λάβοις. εἰ γάρ τις ἐπινοήσειεν ὑπάρχοντά τινα ὡς ἀληθῶς ἀγαθά, οἷον φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν, οὐκ ἂν ταῦτα προεπινοήσας ἔτι ἀκοῦσαι δυνηθείη τό· "ὑπὸ τῶν ἀγαθῶν", ⟨οὐ⟩ γὰρ ἐφαρμόσει. τὰ δέ γε τοῖς πολλοῖς φαινόμενα ἀγαθὰ προεπινοήσας τις | ἐξακούσεται καὶ ῥᾳδίως δέξεται ὡς οἰκείως ἐπιλεγόμενον τὸ ὑπὸ τοῦ κωμικοῦ εἰρημένον. οὕτως καὶ οἱ πολλοὶ φαντάζονται τὴν διαφοράν· οὐ γὰρ ἂν τοῦτο μὲν [οὐ] προσέκοπτε καὶ ἀπηξιοῦτο, τὸ δὲ ἐπὶ τοῦ πλούτου καὶ τῶν πρὸς τρυφὴν ἢ δόξαν εὐκληρημάτων παρεδεχόμεθα ὡς ἱκνουμένως καὶ ἀστείως εἰρημένον. πρόιθι οὖν καὶ ἐρώτα, εἰ τιμητέον καὶ ἀγαθὰ ὑπολεπτέον τὰ τοιαῦτα, ὧν προεπινοηθέντων οἰκείως ἂν ἐπιφέροιτο τὸ τὸν κεκτημένον αὐτὰ ὑπὸ τῆς εὐπορίας "οὐκ ἔχειν ὅποι χέσῃ".

13 Ἐξ αἰτιώδους καὶ ὑλικοῦ συνέστηκα, οὐδέτερον δὲ τούτων εἰς τὸ μὴ ὂν φθαρήσεται, ὥσπερ οὐδὲ ἐκ τοῦ μὴ ὄντος ὑπέστη. οὐκοῦν καταταχθήσεται πᾶν μέρος ἐμὸν κατὰ μεταβολὴν εἰς μέρος τι τοῦ κόσμου καὶ πάλιν ἐκεῖνο εἰς ἕτερον μέρος τι τοῦ κόσμου μεταβαλεῖ καὶ ἤδη εἰς ἄπειρον. κατὰ τοιαύτην δὲ μεταβολὴν κἀγὼ ὑπέστην καὶ οἱ ἐμὲ γεννήσαντες καὶ ἐπανιόντι εἰς ἄλλο ἄπειρον. οὐδὲν γὰρ

13 ἐπέρχεταί μοι, τρόφιμε, συγγνώμην ἔχε,
τὸ δὴ λεγόμενον, οὐκ ἔχεις ὅποι χέσῃς
ὑπὸ τῶν ἀγαθῶν, εὖ ἴσθι Menand. *Phasma* 40, *Fr.* 530

15 incipit 358 r ἐξακούσεται

1–4 D 1 προσαναπαύσεσθαι D 5 παρ' ἕκαστον P 7 ἆρα A 8 παιδίον A 10 καὶ corr. Cor. 12 ἀνδρίαν P corr. Gat.: ἀνδρείαν . . . προεπινοήσας om. A 13 ἔτι ἀ.] ἐπακοῦσαι Nauck τό Morus: τι ὑπὸ τῷ ἀγαθῷ corr. Nauck ⟨οὐ⟩ Morus 15 ἐπακούσεται Rich. οἰκείῳ A 17 οὐ secl. Morus 19 ὡσεικνουμένως A 26 τι om. P 28 ἔτι ἀνιόντι Cor.

κωλύει οὕτως φάναι, κἂν κατὰ περιόδους πεπερασμένας ὁ κόσμος διοικῆται.

14 Ὁ λόγος καὶ ἡ λογικὴ τέχνη δυνάμεις εἰσὶν ἑαυταῖς ἀρκούμεναι καὶ τοῖς καθ' αὑτὰς ἔργοις. ὁρμῶνται μὲν οὖν ἀπὸ τῆς οἰκείας ἀρχῆς, ὁδεύουσι δὲ εἰς τὸ προκείμενον τέλος, καθὸ κατορθώσεις αἱ τοιαῦται πράξεις ὀνομάζονται τὴν ὀρθότητα τῆς ὁδοῦ σημαίνουσαι.

15 Οὐδὲν τούτων τηρητέον ἀνθρώπῳ, ᾗ ἀνθρώπῳ, καθὸ ἄνθρωπός ἐστιν, οὐκ ἐπιβάλλει. οὐκ ἔστιν ἀπαιτήματα ἀνθρώπου οὐδὲ ἐπαγγέλλεται αὐτὰ ἡ τοῦ ἀνθρώπου φύσις οὐδὲ τελειότητές εἰσι τῆς τοῦ ἀνθρώπου φύσεως. οὐ τοίνυν οὐδὲ τὸ τέλος ἐν αὐτοῖς ἐστι τῷ ἀνθρώπῳ κείμενον οὐδέ γε τὸ συμπληρωτικὸν τοῦ τέλους, τὸ ἀγαθόν. ἔτι, εἴ τι τούτων ἦν ἐπιβάλλον τῷ ἀνθρώπῳ, οὐκ ἂν τὸ ὑπερφρονεῖν αὐτῶν καὶ κατεξανίστασθαι ἐπιβάλλον ἦν οὐδὲ ἐπαινετὸς ἦν ὁ ἀπροσδεῆ τούτων ἑαυτὸν παρεχόμενος, οὐδ' ἂν ὁ ἐλαττωτικὸς ἑαυτοῦ ἔν τινι τούτων ἀγαθὸς ἦν, εἴπερ ταῦτα ἀγαθὰ ἦν. νῦν δ', ὅσῳπερ πλείω τις ἀφαιρῶν ἑαυτοῦ τούτων ἢ τοιούτων ἑτέρων ἢ καὶ ἀφαιρούμενός τι τούτων ἀνέχεται, τοσῷδε μᾶλλον ἀγαθός ἐστιν.

16 Οἷα ἂν πολλάκις φαντασθῇς, τοιαύτη σοι | ἔσται ἡ διάνοια· βάπτεται γὰρ ὑπὸ τῶν φαντασιῶν ἡ ψυχή. βάπτε οὖν αὐτὴν τῇ συνεχείᾳ τῶν τοιούτων φαντασιῶν· οἷον, ὅτι ὅπου ζῆν ἐστιν, ἐκεῖ καὶ εὖ ζῆν· ἐν αὐλῇ δὲ ζῆν ἐστιν· ἔστιν ἄρα καὶ εὖ ζῆν ἐν αὐλῇ. καὶ πάλιν, ὅτι οὗπερ ἕνεκεν ἕκαστον κατεσκεύασται, ⟨πρὸς τοῦτο κατεσκεύασται·⟩ πρὸς ὃ δὲ κατεσκεύασται, πρὸς τοῦτο φέρεται· πρὸς ὃ φέρεται δέ, ἐν τούτῳ τὸ τέλος αὐτοῦ· ὅπου δὲ τὸ τέλος, ἐκεῖ καὶ τὸ συμφέρον καὶ τὸ ἀγαθὸν ἑκάστου· τὸ ἄρα ἀγαθὸν τοῦ λογικοῦ ζῴου κοινωνία. ὅτι γὰρ πρὸς κοινωνίαν γεγόναμεν, πάλαι δέδεικται· ἢ οὐκ ἦν ἐναργὲς ὅτι τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ

---

19 incipit 358 v ἔσται

3–6 D 1 πεπειραμένας A 3 ὁγος A: Λόγος D 4 καθ' ἑαυτὰς P: καθ' αὑτὰ A: καθ' αὑτὰς D 7 ῥητέον ἀνθρώπου P ᾗ ἀνθρώπῳ om. A καὶ καθὸ A 8 οὐδ' ἔστιν Cor. 10 αὐταῖς A 11 γε om. P 12 ἔτι] ἐπεὶ Cor. 15 ὑπὲρ A 15–16 νῦν θ' A 16–17 ἢ τοιούτων . . . τούτων om. A 16 τοιούτων ἑτέρων suspectum 17 ἀφαιρούμενά corr. Gat.: ἀφαιρούμενός τινα Cas. ἀνέχηται corr. Cor. τῶσῶ δὲ A 20 βλέπεται A βλάπτε A 22 δὲ ζῆν . . . αὐλῇ om. A 23 ⟨πρὸς τοῦτο κατεσκεύασται·⟩ add.Gat. 24 πρὸς ὃ δὲ κατεσκεύασται om. A τοῦτο δὲ A

δὲ κρείττω ἀλλήλων; κρείττω δὲ τῶν μὲν ἀψύχων τὰ ἔμψυχα, τῶν δὲ ἐμψύχων τὰ λογικά.

17 Τὸ τὰ ἀδύνατα διώκειν μανικόν· ἀδύνατον δὲ τὸ τοὺς φαύλους μὴ τοιαῦτά τινα ποιεῖν.

18 Οὐδὲν οὐδενὶ συμβαίνει ὃ οὐχὶ ἐκεῖνο πέφυκε φέρειν. ἄλλῳ τὰ αὐτὰ συμβαίνει καὶ ἤτοι ἀγνοῶν ὅτι συμβέβηκεν, ἢ ἐπιδεικνύμενος μεγαλοφροσύνην, εὐσταθεῖ καὶ ἀκάκωτος μένει. ⟨οὐ⟩ δεινὸν οὖν ἄγνοιαν καὶ ἀρέσκειαν ἰσχυροτέρας εἶναι φρονήσεως . . . . .;

19 Τὰ πράγματα αὐτὰ οὐδ' ὁπωστιοῦν ψυχῆς ἅπτεται οὐδὲ ἔχει εἴσοδον πρὸς ψυχὴν οὐδὲ τρέψαι οὐδὲ κινῆσαι ψυχὴν δύναται, τρέπει δὲ καὶ κινεῖ αὐτὴ ἑαυτὴν μόνη καὶ οἵων ἂν κριμάτων καταξιώσῃ ἑαυτήν, τοιαῦτα ἑαυτῇ ποιεῖ τὰ προσυφεστῶτα.

20 Καθ' ἕτερον μὲν λόγον ἡμῖν ἐστιν οἰκειότατον ἄνθρωπος, καθ' ὅσον εὖ ποιητέον αὐτοὺς καὶ ἀνεκτέον· καθ' ὅσον δὲ ἐνίστανταί τινες εἰς τὰ οἰκεῖα ἔργα, ἔν τι τῶν ἀδιαφόρων μοι γίνεται ὁ ἄνθρωπος οὐχ ἧσσον ἢ ἥλιος ἢ ἄνεμος ἢ θηρίον. ὑπὸ τούτων δὲ ἐνέργεια μέν τις ἐμποδισθείη ἄν, ὁρμῆς δὲ καὶ διαθέσεως οὐ γίνεται ἐμπόδια διὰ τὴν ὑπεξαίρεσιν καὶ τὴν περιτροπήν. περιτρέπει γὰρ καὶ μεθίστησι πᾶν τὸ τῆς ἐνεργείας κώλυμα ἡ διάνοια εἰς τὸ προηγούμενον καὶ πρὸ ἔργου γίνεται τὸ τοῦ ἔργου τούτου ἐφεκτικὸν καὶ πρὸ ὁδοῦ τὸ τῆς ὁδοῦ ταύτης ἐνστατικόν.

21 Τῶν ἐν τῷ κόσμῳ τὸ κράτιστον τίμα· ἔστι δὲ τοῦτο τὸ πᾶσι χρώμενον καὶ πάντα διέπον. ὁμοίως δὲ καὶ τῶν ἐν σοὶ τὸ κράτιστον τίμα· ἔστι δὲ τοῦτο τὸ ἐκείνῳ ὁμογενές. καὶ γὰρ ἐπὶ σοῦ τὸ τοῖς ἄλλοις χρώμενον | τοῦτό ἐστι, καὶ ὁ σὸς βίος ὑπὸ τούτου διοικεῖται.

22 Ὃ τῇ πόλει οὐκ ἔστι βλαβερόν, οὐδὲ τὸν πολίτην βλάπτει. ἐπὶ πάσης τῆς τοῦ βεβλάφθαι φαντασίας τοῦτον ἔπαγε τὸν κανόνα· εἰ ἡ πόλις ὑπὸ τούτου μὴ βλάπτεται, οὐδὲ ἐγὼ βέβλαμμαι· εἰ δὲ

---

25 incipit 359 r τοῦτό

5–8 X 5 συμβαίνειν A ἐκεῖνο πέφυκεν φέρειν αὐτῷ P A αὐτῷ omisi: ἐκεῖνο et αὐτῷ om. X: ὡς οὐ π. φέρειν αὐτό Morus ἄλλα A 6 καὶ εἴ τι Mo 2 εἰ ἐπιδ. A 7 ⟨οὐ⟩ Jack. 8 ἰσχυροτέραν X lacunam indicavi 9 ὅπως ὁτιοῦν A 10 οὐδὲ δύναται τρέψαι A 11–12 καταξιώσειεν αὐτήν A 12 προεφεστῶτα A: προϋφεστῶτα Schneider 14 ἀνεκτέον P: ἀνακτέον P cod. A 15 ἔν τι . . . γίνεται ante καθ' ὅσον (14) A, post ἔργα iterum 16 ἢ pr. om. A 19 εἰς τὸν πρ. A 26 Ὃ om. A 27 τῆς om. A τοῦτο ἄπαγε A 28 ὑπὸ τοῦ μὴ A

ἡ πόλις βλάπτεται, οὐκ ὀργιστέον, ⟨ἀλλὰ δεικτέον⟩ τῷ βλάπτοντι τὴν πόλιν τί τὸ παρορώμενον.

23 Πολλάκις ἐνθυμοῦ τὸ τάχος τῆς παραφορᾶς καὶ ὑπεξαγωγῆς τῶν ὄντων τε καὶ γινομένων. ἥ τε γὰρ οὐσία οἷον ποταμὸς ἐν διηνεκεῖ ῥύσει καὶ αἱ ἐνέργειαι ἐν συνεχέσι μεταβολαῖς καὶ τὰ αἴτια ἐν μυρίαις τροπαῖς καὶ σχεδὸν οὐδὲν ἑστὼς καὶ τὸ πάρεγγυς· τὸ δὲ ἄπειρον τοῦ τε παρῳχηκότος καὶ μέλλοντος ἀχανές, ᾧ πάντα ἐναφανίζεται. πῶς οὖν οὐ μωρὸς ὁ ἐν τούτοις φυσώμενος ἢ σπώμενος ἢ σχετλιάζων ὡς ἔν τινι χρονίῳ καὶ ἐπὶ μακρὸν ἐνοχλήσαντι;

24 Μέμνησο τῆς συμπάσης οὐσίας, ἧς ὀλίγιστον μετέχεις, καὶ τοῦ σύμπαντος αἰῶνος, οὗ βραχὺ καὶ ἀκαριαῖόν σοι διάστημα ἀφώρισται, καὶ τῆς εἱμαρμένης, ἧς πόστον εἶ μέρος;

25 Ἄλλος ἁμαρτάνει. τί εἰς ἐμέ; ὄψεται· ἰδίαν ἔχει διάθεσιν, ἰδίαν ἐνέργειαν. ἐγὼ νῦν ἔχω, ὅ με θέλει νῦν ἔχειν ἡ κοινὴ φύσις, καὶ πράσσω, ὅ με νῦν πράσσειν θέλει ἡ ἐμὴ φύσις.

26 Τὸ ἡγεμονικὸν καὶ κυριεῦον τῆς ψυχῆς σου μέρος ἄτρεπτον ἔστω ὑπὸ τῆς ἐν τῇ σαρκὶ λείας ἢ τραχείας κινήσεως καὶ μὴ συγκιρνάσθω, ἀλλὰ περιγραφέτω αὐτὸ καὶ περιοριζέτω τὰς πείσεις ἐκείνας ἐν τοῖς μορίοις. ὅταν δὲ ἀναδιδῶνται κατὰ τὴν ἑτέραν συμπάθειαν εἰς τὴν διάνοιαν ὡς ἐν σώματι ἡνωμένῳ, τότε πρὸς μὲν τὴν αἴσθησιν φυσικὴν οὖσαν οὐ πειρατέον ἀντιβαίνειν, τὴν δὲ ὑπόληψιν τὴν ὡς περὶ ἀγαθοῦ ἢ κακοῦ μὴ προστιθέτω τὸ ἡγεμονικὸν ἐξ ἑαυτοῦ.

27 "Συζῆν θεοῖς." συζῇ δὲ θεοῖς ὁ συνεχῶς δεικνὺς αὐτοῖς τὴν ἑαυτοῦ ψυχὴν ἀρεσκομένην μὲν τοῖς ἀπονεμομένοις, ποιοῦσαν δὲ ὅσα βούλεται ὁ δαίμων, ὃν ἑκάστῳ προστάτην καὶ ἡγεμόνα ὁ Ζεὺς

25 ἐκείνην δ' ἑκάστῳ, ὃν εἵλετο δαίμονα, τοῦτον φύλακα συμπέμπειν τοῦ βίου Pl. *R.* 620 d

ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται
εὐθὺς γενομένῳ, μυσταγωγὸς τοῦ βίου
ἀγαθός Menand. *Fr.* 550

ἐπίτροπον ἑκάστῳ παρέστησεν τὸν ἑκάστου δαίμονα καὶ παρέδωκεν φυλάσσειν αὐτὸν αὐτῷ Epict. i. 14. 12

16–22 X 1–2 οὐκ ὀργιστέον τῷ βλάπτοντι τὴν πόλιν; τί τὸ παρορώμενον; Sch. 1 ⟨ἀλλὰ δεικτέον⟩ Gat. 5 αἱ om. A 6–7 καὶ σχεδὸν οὐδὲν ἑνεστὼς καὶ τὸ πάρεγγυς τόδε ἄπειρον Cor. 7 τοῦ πεπαρωχηκότος A 9 χρόνῳ corr. March. ἐπὶ μικρὸν P Rich. ἐνοχλήσασι Reiske: ἐνοχλήσοντα Rich.: ἐνοχλήσοντι Lofft: ἐνοχλῆσάν τι Fourn. 10 τῆς μὲν A οὐσίας om. A 11 οὐ A 13 τὶ P: τί A 14–15 ὁ μὲν bis A 14 πράσσειν ἔχειν ἡ A 17 τῇ om. X συγκρινέσθω corr. Schw. 18 αὐτὸ corr. Gat. 19 τὴν μερῶν συμπ. Rend.: τὴν ἡμετέραν συμπ. Rich. τὴν ἑτέρων ⟨ἑτέροις⟩ fort. Sch. 22 αὐτοῦ P 23 Συζῆς A δὲ om. A

ἔδωκεν, ἀπόσπασμα ἑαυτοῦ. οὗτος δέ ἐστιν ὁ ἑκάστου νοῦς καὶ λόγος.

28 Τῷ γράσωνι μήτι ὀργίζῃ, μήτι τῷ ὀζοστόμῳ ὀργίζῃ; τί σοι ποιήσει; τοιοῦτον στόμα ἔχει, τοιαύτας μάλας ἔχει, ἀνάγκη τοιαύτην | ἀποφορὰν ἀπὸ τοιούτων γίνεσθαι. "ἀλλ' ὁ ἄνθρωπος λόγον ἔχει," φησί, "καὶ δύναται συννοεῖν ἐφιστάνων τί πλημμελεῖ." εὖ σοι γένοιτο· τοιγαροῦν καὶ σὺ λόγον ἔχεις, κίνησον λογικῇ διαθέσει λογικὴν διάθεσιν, δεῖξον, ὑπόμνησον· εἰ γὰρ ἐπαίει, θεραπεύσεις καὶ οὐ χρεία ὀργῆς.

Οὔτε τραγῳδὸς οὔτε πόρνη.

29 Ὡς ἐξελθὼν ζῆν διανοῇ, οὕτως ἐνταῦθα ζῆν ἔξεστιν· ἐὰν δὲ μὴ ἐπιτρέπωσι, τότε καὶ τοῦ ζῆν ἔξιθι, οὕτως μέντοι ὡς μηδὲν κακὸν πάσχων. καπνὸς καὶ ἀπέρχομαι· τί αὐτὸ πρᾶγμα δοκεῖς; μέχρι δέ με τοιοῦτον οὐδὲν ἐξάγει, μένω ἐλεύθερος καὶ οὐδείς με κωλύσει ποιεῖν ἃ θέλω· θέλω δὲ ⟨ἃ⟩ κατὰ φύσιν τοῦ λογικοῦ καὶ κοινωνικοῦ ζῴου.

30 Ὁ τοῦ ὅλου νοῦς κοινωνικός. πεποίηκε γοῦν τὰ χείρω τῶν κρειττόνων ἕνεκεν καὶ τὰ κρείττω ἀλλήλοις συνήρμοσεν. ὁρᾷς πῶς ὑπέταξε, συνέταξε, καὶ τὸ κατ' ἀξίαν ἀπένειμεν ἑκάστοις καὶ τὰ κρατιστεύοντα εἰς ὁμόνοιαν ἀλλήλων συνήγαγεν.

31 Πῶς προσενήνεξαι μέχρι νῦν θεοῖς, γονεῦσιν, ἀδελφῷ, γυναικί, τέκνοις, διδασκάλοις, τροφεῦσι, φίλοις, οἰκείοις, οἰκέταις; εἰ πρὸς πάντας σοι μέχρι νῦν ἐστι τό· μήτε τινὰ ῥέξαι ἐξαίσιον μήτε εἰπεῖν.

---

1 τῆς ἡμετέρας ψυχῆς ἐκεῖθεν οὔσης ἀποσπάσματος D.L. 7. 143; εἶναι δὲ τὴν ψυχὴν ἀπόσπασμα αἰθέρος καὶ τοῦ θερμοῦ Pythag. D.L. 8. 28; ἧς κατ' ἀκόλουθον θετέον καὶ τὴν ἀνθρωπίνην ψυχὴν ἀπόσπασμα Philo i. 514 M vid. M. Anton. xii. 26 *Test.* 3 Suid. γράσος: γράσων ἄνθρωπος, ὁ δύσοσμος. τῷ γράσωνι μὴ ὀργίζου 5 incipit 359 v ἀποφορὰν 13 καπνὸν πεποίηκεν ἐν τῷ οἰκήματι· ἂν μέτριον, μενῶ· ἂν λίαν πολύν, ἐξέρχομαι Epict. i. 25. 18; cf. iv. 10. 27

23 οὔτε τινὰ ῥέξας ἐξαίσιον οὔτε τι εἰπὼν
ἐν δήμῳ· ἥ τ' ἐστὶ δίκη θείων βασιλήων·
ἄλλον κ' ἐχθαίρῃσι βροτῶν, ἄλλον κε φιλοίη *Od.* iv. 690
πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Pythagoras ap. D.L. 8. 22

3–9, 21–23 D 3 θράσωνι P cod. 4 στόμα ἔχειν A D ἔχειν D ἀνάγκην A 6 φύσει A D Rend. συνοεῖν A πλημμελοῖ A: πλημμελεῖ (suprascr. οῖ) D 7 λόγος A ἔχων Schultz² 8 θεραπεύσει Rich. 9 χρείαν A 12 τὸ ζῆν A 13 καὶ καπνός ἐστι, ἀπέρχομαι P 14 μενῶ Cor. 15 ⟨ἃ⟩ scripsi ⟨τὰ⟩ Schultz² 19 ἀναπένειμεν A 21 ἀδελφοῖς correxi γυναιξί A pr. 22 εἰ] an ἢ? Stich 23 πάντα A μήτε ⟨τι⟩ Cor.

ἀναμιμνήσκου δὲ καὶ δι' οἵων διελήλυθας καὶ οἷα ἤρκεσας ὑπομεῖναι καὶ ὅτι πλήρης ἤδη σοι ἡ ἱστορία τοῦ βίου καὶ τελεία ἡ λειτουργία καὶ πόσα ὤπται καλὰ καὶ πόσων μὲν ἡδονῶν καὶ πόνων ὑπερεῖδες, πόσα δὲ ἔνδοξα παρεῖδες, εἰς ὅσους δὲ ἀγνώμονας εὐγνώμων ἐγένου.

32 Διὰ τί συγχέουσιν ἄτεχνοι καὶ ἀμαθεῖς ψυχαὶ ἔντεχνον καὶ ἐπιστήμονα; τίς οὖν ψυχὴ ἔντεχνος καὶ ἐπιστήμων; ἡ εἰδυῖα ἀρχὴν καὶ τέλος καὶ τὸν δι' ὅλης τῆς οὐσίας διήκοντα λόγον καὶ διὰ παντὸς τοῦ αἰῶνος κατὰ περιόδους τεταγμένας οἰκονομοῦντα τὸ πᾶν.

33 Ὅσον οὐδέπω σποδὸς ἢ σκελετὸς καὶ ἤτοι ὄνομα ἢ οὐδὲ ὄνομα, τὸ δὲ ὄνομα ψόφος καὶ ἀπήχημα. τὰ δὲ ἐν τῷ βίῳ πολυτίμητα κενὰ καὶ σαπρὰ καὶ μικρὰ· καὶ κυνίδια διαδακνόμενα καὶ παιδία φιλόνεικα, γελῶντα εἶτα εὐθὺς κλαίοντα. Πίστις δὲ καὶ Αἰδὼς καὶ Δίκη καὶ Ἀλήθεια |

πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης.

τί οὖν ἔτι τὸ ἐνταῦθα κατέχον, εἴ γε τὰ μὲν αἰσθητὰ εὐμετάβλητα καὶ οὐχ ἑστῶτα, τὰ δὲ αἰσθητήρια ἀμυδρὰ καὶ εὐπαρατύπωτα, αὐτὸ δὲ τὸ ψυχάριον ἀναθυμίασις ἀφ' αἵματος, τὸ δὲ εὐδοκιμεῖν παρὰ τοιούτοις κενόν; τί οὖν; περιμένειν ἴλεων τὴν εἴτε σβέσιν εἴτε μετάστασιν· ἕως δὲ ἐκείνης ὁ καιρὸς ἐφίσταται, τί ἀρκεῖ; τί δὲ ἄλλο ἢ θεοὺς μὲν σέβειν καὶ εὐφημεῖν, ἀνθρώπους δὲ εὖ ποιεῖν καὶ ἀνέχεσθαι αὐτῶν καὶ ἀπέχεσθαι· ὅσα δὲ ἐντὸς ὅρων τοῦ κρεᾳδίου καὶ τοῦ πνευματίου, ταῦτα μεμνῆσθαι μήτε σὰ ὄντα μήτε ἐπὶ σοί;

---

14 incipit 360 r πρὸς

καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης
λευκοῖσιν φάρεσσι καλυψαμένω χρόα καλόν
ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους
Αἰδὼς καὶ Νέμεσις Hesiod, *Op.* 197

17 καὶ τὴν ψυχὴν δὲ ὁ αὐτὸς θνητόψυχος ὑπάρχων
ἀναθυμίασίς φησιν αἵματος πεφυκέναι Joh. Tzetzes, *Chil.* vii. 802
Αἰσχύλος, ὡς ὁ Ὅμηρος, θνητόψυχος ὑπάρχων
ἀναθυμίασιν αὐτὴν δοξάζει τῶν αἱμάτων
ὡς ἐν ὑστέροις χρόνοις δὲ καὶ Μάρκος αὐτοκράτωρ ibid. viii. 222

1–4, 9–23 D 2 ἡ om. P τελέα P: corr. Lugd.: τελευταία A D 3 πόσα ⟨σοι⟩ Cor. 4 πόσα . . . παρεῖδες om. D ἀγνώμων P cod. 5 σύγχρωσιν A 7 τὸν δι' τῆς P (per universam) 8 τεταγμένα A 11 διαδακνώμενα A 16 εὐπαράπτωτα Nauck 16–19 αὐτὸ . . . μετάστασιν om. D sic pergens: τί δὲ ἄλλο ἀρκεῖ, ἕως ὁ καιρὸς τῆς μεταστάσεως ἐφίσταται; ἢ θεοὺς μὲν κτέ. 18 περιμένεις ἴλεως corr. March.: περιμενεῖς Wil: τί οὐ περιμένεις Gat. 21 ἐκτὸς P

ΒΙΒΛΙΟΝ Ε

34 Δύνασαι ἀεὶ εὑροεῖν, εἴ γε καὶ εὐοδεῖν, εἴ γε καὶ ὁδῷ ὑπολαμβάνειν καὶ πράσσειν. δύο ταῦτα κοινὰ τῇ τε τοῦ θεοῦ καὶ τῇ τοῦ ἀνθρώπου καὶ παντὸς λογικοῦ ζῴου ψυχῇ· τὸ μὴ ἐμποδίζεσθαι ὑπ' ἄλλου καὶ τὸ ἐν τῇ δικαϊκῇ διαθέσει καὶ πράξει ἔχειν τὸ ἀγαθὸν καὶ ἐνταῦθα τὴν ὄρεξιν ἀπολήγειν.

35 Εἰ μήτε κακία ἐστὶ τοῦτο ἐμὴ μήτε ἐνέργεια κατὰ κακίαν ἐμὴν μήτε τὸ κοινὸν βλάπτεται, τί ὑπὲρ αὐτοῦ διαφέρομαι; τίς δὲ βλάβη τοῦ κοινοῦ;

36 Μὴ ὁλοσχερῶς τῇ φαντασίᾳ συναρπάζεσθαι, ἀλλὰ βοηθεῖν μὲν κατὰ δύναμιν καὶ κατ' ἀξίαν, κἂν εἰς τὰ μέσα ἐλαττῶνται, μὴ μέντοι βλάβην αὐτὸ φαντάζεσθαι· κακὸν γὰρ ἔθος. ἀλλ' ὡς ὁ γέρων ἀπελθὼν τὸν τοῦ θρεπτοῦ ῥόμβον ἀπῄτει, μεμνημένος ὅτι ῥόμβος, οὕτως οὖν καὶ ⟨σὺ⟩ ὧδε. ἐπεί τοι γίνῃ κλαίων ἐπὶ τῶν ἐμβόλων· ἄνθρωπε, ἐπελάθου τί ταῦτα ἦν; "ναί· ἀλλὰ τούτοις περισπούδαστα." διὰ τοῦτ' οὖν καὶ σὺ μωρὸς γένῃ;

37 "Ἐγενόμην ποτέ, ὁπουδήποτε καταληφθείς, εὔμοιρος ἄνθρωπος." τὸ δὲ εὔμοιρος, ἀγαθὴν μοῖραν σεαυτῷ ἀπονείμας· ἀγαθὴ δὲ μοῖρα· ἀγαθαὶ τροπαὶ ψυχῆς, ἀγαθαὶ ὁρμαί, ἀγαθαὶ πράξεις.

ΒΙΒΛΙΟΝ ς

1 Ἡ τῶν ὅλων οὐσία εὐπειθὴς καὶ εὐτρεπής, ὁ δὲ ταύτην διοικῶν λόγος οὐδεμίαν ἐν ἑαυτῷ αἰτίαν ἔχει τοῦ κακοποιεῖν, κακίαν γὰρ οὐκ ἔχει· οὐδέ τι κακῶς ποιεῖ οὐδὲ βλάπτεταί τι ὑπ' ἐκείνου. πάντα δὲ κατ' ἐκεῖνον γίνεται καὶ περαίνεται.

2 Μὴ διαφέρου πότερον ῥιγῶν ἢ θαλπόμενος τὸ πρέπον ποιεῖς, καὶ πότερον νυστάζων ἢ ἱκανῶς ὕπνου ἔχων, καὶ πότερον κακῶς

9 ὅταν κλαίοντα ἴδῃς τινὰ ἐν πένθει ἢ ἀποδημοῦντος τέκνου ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ ὡς ἐν κακοῖς ὄντος αὐτοῦ τοῖς ἐκτός Epict. *Ench.* 16

20–25 D 1 ὀδεύειν P: εὔδειν A corr. Lofft 3 λογικοῦ ψυχὴ A: λογικῇ ψυχῇ Sch. 4 καικῇ A: δικαίᾳ Cor. 6 κακίᾳ . . . ἐμῇ . . . ἐνεργείᾳ Rich. 10 ἐλαττῶμαι Reiske: ἐλαττοῖ τι Cor. 11 ἔθος fort. corruptum: οὐθέν Gat. 13–15 καὶ ὧδε . . . οὖν om. A ⟨σὺ⟩ supplevi 13 ἐπεί τοι γίνῃ καλῶν: (quoniam boni aliquid fiat): ἐπεὶ τί γίνῃ ἐγκαλῶν Cor.: κλαίων scripsi 16 Γενοίμην Schultz² καταλειφθείς corr. Cas. 17 ἀπένειμας A 18 ἀγαθαὶ δὲ μοῖραι corr. Stich 20 nullum intervallum A εὐπρεπής A D 23 γίνονται A 25 νιστάζων A

ἀκούων ἢ εὐφημούμενος, καὶ πότερον ἀποθνῄσκων ἢ πράττων τι ἀλλοῖον· μία γὰρ τῶν βιωτικῶν πράξεων καὶ αὕτη ἐστί, καθ' ἣν ἀπο|θνῄσκομεν· ἀρκεῖ οὖν καὶ ἐπὶ ταύτης τὸ παρὸν εὖ θέσθαι.

3 Ἔσω βλέπε· μηδενὸς πράγματος μήτε ἡ ἰδία ποιότης μήτε ἡ ἀξία παρατρεχέτω σε.

4 Πάντα τὰ ὑποκείμενα τάχιστα μεταβαλεῖ καὶ ἤτοι ἐκθυμιαθήσεται, εἴπερ ἤνωται ἡ οὐσία, ἢ σκεδασθήσεται.

5 Ὁ διοικῶν λόγος οἶδε πῶς διακείμενος καὶ τί ποιεῖ καὶ ἐπὶ τίνος ὕλης.

6 Ἄριστος τρόπος τοῦ ἀμύνεσθαι τὸ μὴ ἐξομοιοῦσθαι.

7 Ἐνὶ τέρπου καὶ προσαναπαύου, τῷ ἀπὸ πράξεως κοινωνικῆς μεταβαίνειν ἐπὶ πρᾶξιν κοινωνικὴν σὺν μνήμῃ θεοῦ.

8 Τὸ ἡγεμονικόν ἐστι τὸ ἑαυτὸ ἐγεῖρον καὶ τρέπον καὶ ποιοῦν μὲν ἑαυτὸ οἷον ἂν καὶ θέλῃ, ποιοῦν δὲ ἑαυτῷ φαίνεσθαι πᾶν τὸ συμβαῖνον οἷον αὐτὸ θέλει.

9 Κατὰ τὴν τῶν ὅλων φύσιν ἕκαστα περαίνεται· οὐ γὰρ κατ' ἄλλην γέ τινα φύσιν ἤτοι ἔξωθεν περιέχουσαν ἢ ἐμπεριεχομένην ἔνδον ἢ ἔξω ἀπηρτημένην.

10 Ἤτοι κυκεὼν καὶ ἀντεμπλοκὴ καὶ σκεδασμὸς ἢ ἕνωσις καὶ τάξις καὶ πρόνοια. εἰ μὲν οὖν τὰ πρότερα, τί καὶ ἐπιθυμῶ εἰκαίῳ συγκρίματι καὶ φυρμῷ τοιούτῳ ἐνδιατρίβειν; τί δέ μοι καὶ μέλει ἄλλου τινὸς ἢ τοῦ ὅπως ποτὲ "αἶα γίνεσθαι"; τί δὲ καὶ ταράσσομαι; ἥξει γὰρ ἐπ' ἐμὲ ὁ σκεδασμός, ὅ τι ἂν ποιῶ. εἰ δὲ θάτερά ἐστι, σέβω καὶ εὐσταθῶ καὶ θαρρῶ τῷ διοικοῦντι.

11 Ὅταν ἀναγκασθῇς ὑπὸ τῶν περιεστηκότων οἱονεὶ διαταραχθῆναι, ταχέως ἐπάνιθι εἰς ἑαυτὸν καὶ μὴ ὑπὲρ τὰ ἀναγκαῖα ἐξίστασο τοῦ

---

3 incipit 360 v -θνῄσκομεν ὅπως τὸ παρὸν εὖ θέμενος παραδράμῃς γελῶν τὰ πολλά Lucian, *Necyom.* 21 22 "'ὅπως ποτὲ αἶα γίνεσθαι' verba ex ignoto poeta desumpta" Gat. qui confert:

ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε *Il.* vii. 99

1–26 D 2–3 καθὼς A 3 εὔθεσθαι A 4 ἡ alt. om. A D 5 περιτρεχέτω A D 6 μεταβάλλει P D: μεταβάλει alteram λ subscr. A: corr. Schultz² ἤτοι] εἴ τι A: εἴτε D 13 ἑαυτῶ A 13–14 μὲν ἑαυτῷ A D 14 ἂν ἢ καὶ θέλῃ A D 20 οὖν om. D 21 φρυμῶ A μέλλει A 22 ⟨ἢ⟩ ἄλλου Reiske ἐᾷ γίγνεσθαι D: γενέσθαι Menag. 24 ἐστιν A καὶ καθαρρῶ A: an καταθαρρῶ? Stich 25 οἰωνοῦν Cor. 26 σεαυτὸν Leop.

ῥυθμοῦ· ἔσῃ γὰρ ἐγκρατέστερος τῆς ἁρμονίας τῷ συνεχῶς εἰς αὐτὴν ἐπανέρχεσθαι.

12 Εἰ μητρυιάν τε ἅμα εἶχες καὶ μητέρα, ἐκείνην τ' ἂν ἐθεράπευες καὶ ὅμως ἡ ἐπάνοδός σοι πρὸς τὴν μητέρα συνεχὴς ἐγίνετο. τοῦτό σοι νῦν ἐστιν ἡ αὐλὴ καὶ ἡ φιλοσοφία· ὧδε πολλάκις ἐπάνιθι καὶ προσαναπαύου ταύτῃ, δι' ἣν καὶ τὰ ἐκεῖ σοι ἀνεκτὰ φαίνεται καὶ σὺ ἐν αὐτοῖς ἀνεκτός.

13 Οἷον δὴ τὸ φαντασίαν λαμβάνειν ἐπὶ τῶν ὄψων καὶ τῶν τοιούτων ἐδωδίμων, ὅτι νεκρὸς οὗτος ἰχθύς, οὗτος δὲ νεκρὸς ὄρνιθος ἢ χοίρου· καὶ πάλιν, ὅτι ὁ Φάλερνος χυλάριόν ἐστι σταφυλίου | καὶ ἡ περιπόρφυρος τριχία προβατίου αἱματίῳ κόγχης δεδευμένα· καὶ ἐπὶ τῶν κατὰ τὴν συνουσίαν ἐντερίου παράτριψις καὶ μετά τινος σπασμοῦ μυξαρίου ἔκκρισις· οἷαι δὴ αὗταί εἰσιν αἱ φαντασίαι καθικνούμεναι αὐτῶν τῶν πραγμάτων καὶ διεξιοῦσαι δι' αὐτῶν, ὥστε ὁρᾶν οἷά τινά ποτ' ἐστιν. οὕτως δεῖ παρ' ὅλον τὸν βίον ποιεῖν καὶ ὅπου λίαν ἀξιόπιστα τὰ πράγματα φαντάζεται, ἀπογυμνοῦν αὐτὰ καὶ τὴν εὐτέλειαν αὐτῶν καθορᾶν καὶ τὴν ἱστορίαν ἐφ' ᾗ σεμνύνεται περιαιρεῖν. δεινὸς γὰρ ὁ τῦφος παραλογιστὴς καὶ ὅτε δοκεῖς μάλιστα περὶ τὰ σπουδαῖα καταγίνεσθαι, τότε μάλιστα καταγοητεύῃ. ὅρα γοῦν ὁ Κράτης τί περὶ αὐτοῦ τοῦ Ξενοκράτους λέγει.

14 Τὰ πλεῖστα, ὧν ἡ πληθὺς θαυμάζει, εἰς γενικώτατα ἀνάγεται τὰ ὑπὸ ἕξεως ἢ φύσεως συνεχόμενα, λίθους, ξύλα, συκᾶς, ἀμπέλους, ἐλαίας· τὰ δὲ ὑπὸ τῶν ὀλίγῳ μετριωτέρων εἰς τὰ ὑπὸ ψυχῆς, οἷον

---

10 incipit 361 r καὶ

12 ὁ Μάρκος αὐτοκράτωρ δὲ τὸν ἄνθρωπόν φησί που μυξάριον, ἑλκύδριον, παράτριψιν νευρίου Joh. Tzetzes, *Chil.* vii. 800 vid. v. 33 *Test.* 23 μετέσχε δὲ ἕκαστον οὗπερ ἠδύνατο, τὰ μὲν ἄψυχα σώματα τῆς ἕξεως μόνον, τὰ φυτὰ δὲ ἤδη καὶ φύσεως (σώματος codd.), τὰ ζῷα δὲ ψυχῆς· ὁ δὲ ἄνθρωπος καὶ λογικῆς ψυχῆς Julian, *Or.* 6. 182 d

---

1–7 D, 8–20 X 1 εἰ γὰρ A: εἶ γὰρ D ἐπ' αὐτὴν D 3 μητρυάν A 4 ἐπάνωδός A 4–5 ταὐτό σοι νῦν ἔστω Rich. 5 καὶ φ. P 6–7 καὶ σοὶ ἐν αὐ. D 10 ὁ Φ. . . . καὶ om. X χυλάριον ἔστιν A 11 τριχία ἐστὶ X αἵματι A 12 οὐσίαν A Mo 2 13 οἷαν δὴ P 14 δι' om. X 15 ὁρᾶν ἅτινα P 16 ἀξιοπιστότατα πιαγ. P A 17 ἱστ.] τερθρείαν Reiske: τορείαν Rend.: ῥητορείαν Rich. ὑφ' ᾗ P: ὑφ' ἧς A 19–20 καταγοητεύῃ A L 4 Par. 1, 2, 5, 6: καταγοητεύει P X 20–1 ὅρα . . . λέγει om. X 20 τίς A 22 γενικώτατά ⟨τινι⟩ Cor.: γενικώτατα ⟨ταῦτα⟩ Jack.

ποίμνας, ἀγέλας ἢ κατὰ ψιλὸν τὸ πλῆθος ἀνδραπόδων κεκτῆσθαι. τὰ δὲ ὑπὸ τῶν ἔτι χαριεστέρων εἰς τὰ ὑπὸ λογικῆς ψυχῆς, οὐ μέντοι καθὸ λογική, ἀλλὰ καθὸ τεχνικὴ ἢ ἄλλως πως ἐντρεχής. ὁ δὲ ψυχὴν λογικὴν καὶ πολιτικὴν τιμῶν οὐδὲν ἔτι τῶν ἄλλων ἐπιστρέφεται, πρὸ ἁπάντων δὲ τὴν ἑαυτοῦ ψυχὴν λογικῶς καὶ κοινωνικῶς ἔχουσαν καὶ κινουμένην διασῴζει καὶ τῷ ὁμογενεῖ εἰς τοῦτο συνεργεῖ.

15 Τὰ μὲν σπεύδει γίνεσθαι, τὰ δὲ σπεύδει γεγονέναι, καὶ τοῦ γινομένου δὲ ἤδη τι ἀπέσβη· ῥύσεις καὶ ἀλλοιώσεις ἀνανεοῦσι τὸν κόσμον διηνεκῶς, ὥσπερ τὸν ἄπειρον αἰῶνα ἡ τοῦ χρόνου ἀδιάλειπτος φορὰ νέον ἀεὶ παρέχεται. ἐν δὴ τούτῳ τῷ ποταμῷ, ἐφ' οὗ στῆναι οὐκ ἔξεστιν, τί ἄν τις τούτων τῶν παραθεόντων ἐκτιμήσειεν; ὥσπερ εἴ τίς τι τῶν παραπετομένων στρουθαρίων φιλεῖν ἄρχοιτο, τὸ δ' ἤδη ἐξ ὀφθαλμῶν ἀπελήλυθεν. τοιοῦτον δή τι καὶ αὐτὴ ἡ ζωὴ ἑκάστου, οἷον ἡ ἀφ' αἵματος ἀναθυμίασις καὶ ἡ ἐκ τοῦ ἀέρος ἀνάπνευσις· ὁποῖον γάρ ἐστι τὸ ἅπαξ ἑλκύσαι | τὸν ἀέρα καὶ ἀποδοῦναι, ὅπερ παρ' ἕκαστον ποιοῦμεν, τοιοῦτόν ἐστι καὶ τὸ τὴν πᾶσαν ἀναπνευστικὴν δύναμιν, ἣν χθὲς καὶ πρώην ἀποτεχθεὶς ἐκτήσω, ἀποδοῦναι ἐκεῖ ὅθεν τὸ πρῶτον ἔσπασας.

16 Οὔτε τὸ διαπνεῖσθαι ὡς τὰ φυτὰ τίμιον οὔτε τὸ ἀναπνεῖν ὡς τὰ βοσκήματα καὶ τὰ θηρία οὔτε τὸ τυποῦσθαι κατὰ φαντασίαν οὔτε τὸ νευροσπαστεῖσθαι καθ' ὁρμὴν οὔτε τὸ συναγελάζεσθαι οὔτε τὸ τρέφεσθαι· τοῦτο γὰρ ὅμοιον τῷ ἀποκρίνειν τὰ περιττώματα τῆς 2 τροφῆς. τί οὖν τίμιον; τὸ κροτεῖσθαι; οὐχί. οὐκοῦν οὐδὲ τὸ ὑπὸ γλωσσῶν κροτεῖσθαι· αἱ γὰρ παρὰ τῶν πολλῶν εὐφημίαι κρότος

13 τὰ πετόμενα διώκειν Arist. *Metaph.* 1009 b 38, Paroem. Graeci, ii. 677; διώκει παῖς ποτανὸν ὄρνιν Aesch. *Ag.* 394; πετόμενόν τινα διώκεις; Pl. *Euthyphr.* 4 a; ὥσπερ τὰ παιδία τὰ τοὺς κορύδους διώκοντα . . . αἱ δ' ἀεὶ (sc. ἐπιστήμαι) ὑπεξέφευγον id. *Euthyd.* 291 b 16 incipit 361 v τὸν

13–25 D 1 ἢ κατὰ ψ. . . . κεκτῆσθαι post ἐντρεχής in P A inserta huc transtuli: ⟨οἷον πλῆθος⟩ ἀνδρ. Holst.: ⟨οἷον⟩ τὸ πλῆθος Morus 3 καθὸ λογική scripsi: καθὸ λογική ἐστιν Sch. cf. vii. 64: καθολικῆς 4 post λογικὴν inser. καθολικὴν P 6 ἴσχουσαν fort. Gat. an εἰς ταὐτό? 8 καὶ τὰ μὲν σπ. A 10 τὸν ἄπειρον αἰονα (sic) post ἀνανεοῦσι transtulit P (αἰῶνα Bas.) 10–11 ἀδιάλειπτος A 11–12 ἐφ' οὗ . . . ἔξεστιν post ἐκτιμήσειεν in P A inserta huc transposui 12 τούτων παραθεόντων τῶν P. corr. Bas. 13 εἰ ⟨παῖς⟩ τίς Jack. τι om. D στρουθίων P 17 τὴν om. D 20 οὔτε διαπν. A D οὔτε τὸ δ. post ὡς τὰ φυτὰ τίμιον transt. P 22 οὔτε συνα. A D 23 τὸ ἀποκρ. A D 24–5 ὑπόγλωσσον A D

γλωσσῶν. ἀφῆκας οὖν καὶ τὸ δοξάριον· τί καταλείπεται τίμιον; δοκῶ μὲν τὸ κατὰ τὴν ἰδίαν κατασκευὴν κινεῖσθαι καὶ ἴσχεσθαι,
3 ἐφ' ὃ καὶ αἱ ἐπιμέλειαι ἄγουσι καὶ αἱ τέχναι· (ἥ τε γὰρ τέχνη πᾶσα τούτου στοχάζεται, ἵνα τὸ κατασκευασθὲν ἐπιτηδείως ἔχῃ πρὸς τὸ ἔργον πρὸς ὃ κατεσκεύασται· ὅ τε φυτουργὸς ⟨καὶ⟩ ὁ ἐπιμελούμενος τῆς ἀμπέλου, καὶ ὁ πωλοδάμνης καὶ ὁ τοῦ κυνὸς ἐπιμελούμενος τοῦτο ζητεῖ.) αἱ δὲ παιδαγωγίαι, αἱ δὲ διδασκαλίαι ἐπὶ τί
4 σπεύδουσιν; ὧδε οὖν τὸ τίμιον· καὶ τοῦτο μὲν ἂν εὖ ἔχῃ, οὐδὲν τῶν ἄλλων περιποιήσεις ἑαυτῷ. οὐ παύσῃ καὶ ἄλλα πολλὰ τιμῶν; οὔτ' οὖν ἐλεύθερος ἔσῃ οὔτε αὐτάρκης οὔτε ἀπαθής· ἀνάγκη γὰρ φθονεῖν, ζηλοτυπεῖν, ὑφορᾶσθαι τοὺς ἀφελέσθαι ἐκεῖνα δυναμένους, ἐπιβουλεύειν τοῖς ἔχουσι τὸ τιμώμενον ὑπὸ σοῦ· ὅλως πεφύρθαι ἀνάγκη τὸν ἐκείνων τινὸς ἐνδεῆ, προσέτι δὲ πολλὰ καὶ τοῖς θεοῖς
5 μέμφεσθαι. ἡ δὲ τῆς ἰδίας διανοίας αἰδὼς καὶ τιμὴ σεαυτῷ τε ἀρεστόν σε ποιήσει καὶ τοῖς κοινωνοῖς εὐάρμοστον καὶ τοῖς θεοῖς σύμφωνον, τουτέστιν ἐπαινοῦντα ὅσα ἐκεῖνοι διανέμουσι καὶ διατετάχασιν.

17 Ἄνω, κάτω, κύκλῳ ⟨αἱ⟩ φοραὶ τῶν στοιχείων, ἡ δὲ τῆς ἀρετῆς κίνησις ἐν οὐδεμιᾷ τούτων, ἀλλὰ θειότερόν τι καὶ ὁδῷ δυσεπινοήτῳ προιοῦσα εὐοδεῖ.

18 Οἷόν ἐστιν ὃ ποιοῦσι. τοὺς μὲν ἐπὶ τοῦ αὐτοῦ χρόνου καὶ μεθ' ἑαυτῶν | ζῶντας ἀνθρώπους εὐφημεῖν οὐ θέλουσιν, αὐτοὶ δὲ ὑπὸ τῶν μεταγενεστέρων εὐφημηθῆναι, οὓς οὔτε εἶδόν ποτε οὔτε ὄψονται, περὶ πολλοῦ ποιοῦνται. τοῦτο δὲ ἐγγύς ἐστι τῷ λυπηθῆναι ἄν, ὅτι οὐχὶ καὶ οἱ προγενέστεροι περὶ σοῦ λόγους εὐφήμους ἐποιοῦντο.

19 Μή, εἴ τι αὐτῷ σοὶ δυσκαταπόνητον, τοῦτο ἀνθρώπῳ ἀδύνατον ὑπολαμβάνειν, ἀλλ' εἴ τι ἀνθρώπῳ δυνατὸν καὶ οἰκεῖον, τοῦτο καὶ σεαυτῷ ἐφικτὸν νομίζειν.

---

22 incipit 362 r ζῶντας

1–28 D 2 καὶ ἵστασθαι καὶ κινεῖσθαι D 3 καὶ ἐπ. A D 4 τούτου Cas. D in marg.: τοῦτο P A 5 κατεσκεύασθαι A καὶ ins. Leop. 7 δὲ alt. om. P τὶ P: τοῦτο Couat 8 ὧ οὖν D: ὧδε οὖν ⟨ἐν⟩ fort. τοῦτο μόνον εὖ D εὖ ἂν A D 9 περιποιήσῃ σεαυτῷ P: περιποιήσεις σεαυτῷ D ὃ οὐ παύσῃ A: an σὺ οὐ? Sch. 10 οὔτε αὐτάρκης post παύσῃ transp. A D 13 τῶν ἐ. τ. ἐνδεεῖ A: τῷ ἐ. τ. ἐνδεεῖ D πολλάκις τοῖς θ. Kron. coll. ix. 1 14 ἑαυτὸν D pr. 15 κοινωνικοῖς P: corr. Cor.: om. A: ἀνθρώποις D 18 ⟨αἱ⟩ Reiske 20 εὐοδοῖ D 24 ἄν secl. Cor. 27 ἀνθρώπων ἀδυνάτων A D 28 νόμιζε corr. March.

20 Ἐν τοῖς γυμνασίοις καὶ ὄνυξι κατέδρυψέ τις καὶ τῇ κεφαλῇ ἐρραγεὶς πληγὴν ἐποίησεν, ἀλλ' οὔτε ἐπισημαινόμεθα οὔτε προσκόπτομεν οὔτε ὑφορώμεθα ὕστερον ὡς ἐπίβουλον· καίτοι φυλαττόμεθα, οὐ μέντοι ὡς ἐχθρὸν οὐδὲ μεθ' ὑποψίας, ἀλλ' ἐκκλίσεως εὐμενοῦς. τοιοῦτόν τι γινέσθω καὶ ἐν τοῖς λοιποῖς μέρεσι τοῦ βίου· πολλὰ παρενθυμώμεθα τῶν οἷον προσγυμναζομένων. ἔξεστι γάρ, ὡς ἔφην, ἐκκλίνειν καὶ μήτε ὑποπτεύειν μήτε ἀπέχθεσθαι.

21 Εἴ τίς με ἐλέγξαι καὶ παραστῆσαί μοι, ὅτι οὐκ ὀρθῶς ὑπολαμβάνω ἢ πράσσω, δύναται, χαίρων μεταθήσομαι· ζητῶ γὰρ τὴν ἀλήθειαν, ὑφ' ἧς οὐδεὶς πώποτε ἐβλάβη, βλάπτεται δὲ ὁ ἐπιμένων ἐπὶ τῆς ἑαυτοῦ ἀπάτης καὶ ἀγνοίας.

22 Ἐγὼ τὸ ἐμαυτοῦ καθῆκον ποιῶ, τὰ ἄλλα με οὐ περισπᾷ· ἤτοι γὰρ ἄψυχα ἢ ἄλογα ἢ πεπλανημένα καὶ τὴν ὁδὸν ἀγνοοῦντα.

23 Τοῖς μὲν ἀλόγοις ζῴοις καὶ καθόλου πράγμασι καὶ ὑποκειμένοις, ὡς λόγον ἔχων λόγον μὴ ἔχουσι, χρῶ μεγαλοφρόνως καὶ ἐλευθέρως· τοῖς δὲ ἀνθρώποις, ὡς λόγον ἔχουσι, χρῶ κοινωνικῶς· ἐφ' ἅπασι δὲ θεοὺς ἐπικαλοῦ. καὶ μὴ διαφέρου πρὸς τὸ πόσῳ χρόνῳ ταῦτα πράξεις· ἀρκοῦσι γὰρ καὶ τρεῖς ὧραι τοιαῦται.

24 Ἀλέξανδρος ὁ Μακεδὼν καὶ ὁ ὀρεωκόμος αὐτοῦ ἀποθανόντες εἰς ταὐτὸ κατέστησαν· ἤτοι γὰρ ⟨ἀν⟩ελήφθησαν εἰς τοὺς αὐτοὺς τοῦ κόσμου σπερματικοὺς λόγους ἢ διεσκεδάσθησαν ὁμοίως εἰς τὰς ἀτόμους.

25 Ἐνθυμήθητι πόσα κατὰ τὸν αὐτὸν ἀκαριαῖον χρόνον ἐν ἑκάστῳ ἡμῶν ἅμα γίνεται σωματικὰ ὁμοῦ καὶ | ψυχικά, καὶ οὕτως οὐ θαυμάσεις εἰ πολὺ πλείω, μᾶλλον δὲ πάντα τὰ γινόμενα ἐν τῷ ἑνί τε καὶ σύμπαντι, ὃ δὴ κόσμον ὀνομάζομεν, ἅμα ἐνυφίσταται.

26 Ἐάν τίς σοι προβάλῃ πῶς γράφεται τὸ Ἀντωνίνου ὄνομα, μήτι

8 νῦν δ' εἴη ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι
ἢ νέος ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένῳ εἴη *Il.* xiv. 107
οὐ φθονεροῦ τοῦ βασιλέως ὄντος, διδόντος δὲ παρρησίαν καὶ τιμῶντος τοὺς εἴς τι δυναμένους συμβουλεύειν Pl. *Lg.* 694 b 13 vid. Heracl. *Fr.* 71 D, 73 B ad iv. 46 citatum (*Test.*) 24 incipit 362 v ψυχικά

8–13 D 2 ἐκραγεὶς Schultz 5 τοιοῦτόν τοι P γενέσθω corr. Cor. 7 μηδὲ . . . μηδὲ corr. Schultz² ἀπέχεσθαι A 8 παραστῆσαί με A D 12 Ἐγὼ δὲ ἐ. P 16 χρ. καὶ κοινωνικῶς A κοινονικῶς P 19 καὶ ὀρεωκόμος A 20 ἐλήφθησαν corr. Schultz² 21 ἡ δὲ σκεδασθεῖσαν A 22 αὐτόμους A 25 fort. τὰ γινόμενα ⟨καὶ γεννητὰ⟩ Sch. 25–6 ἑνί τε καὶ γεννητῷ καὶ σ. A 27 προβάλλη A

κατεντεινόμενος προοίσῃ ἕκαστον τῶν στοιχείων; τί οὖν ἐὰν ὀργίζωνται, μήτι ἀντοργιῇ; μήτι οὐκ ἐξαριθμήσῃ πράως προϊὼν ἕκαστον τῶν γραμμάτων; οὕτως οὖν καὶ ἐνθάδε μέμνησο ὅτι πᾶν καθῆκον ἐξ ἀριθμῶν τινῶν συμπληροῦται. τούτους δεῖ τηροῦντα καὶ μὴ θορυβούμενον μηδὲ τοῖς δυσχεραίνουσιν ἀντιδυσχεραίνοντα περαίνειν ὁδῷ τὸ προκείμενον.

27 Πῶς ὠμόν ἐστι μὴ ἐπιτρέπειν τοῖς ἀνθρώποις ὁρμᾶν ἐπὶ τὰ φαινόμενα αὐτοῖς οἰκεῖα καὶ συμφέροντα. καίτοι τρόπον τινὰ οὐ συγχωρεῖς αὐτοῖς τοῦτο ποιεῖν, ὅταν ἀγανακτῇς, ὅτι ἁμαρτάνουσι· φέρονται γὰρ πάντως ὡς ἐπὶ οἰκεῖα καὶ συμφέροντα αὐτοῖς. "ἀλλ' οὐκ ἔχει οὕτως." οὐκοῦν δίδασκε καὶ δείκνυε μὴ ἀγανακτῶν.

28 Θάνατος ἀνάπαυλα αἰσθητικῆς ἀντιτυπίας καὶ ὁρμητικῆς νευροσπαστίας καὶ διανοητικῆς διεξόδου καὶ τῆς πρὸς τὴν σάρκα λειτουργίας.

29 Αἰσχρόν ἐστιν, ἐν ᾧ βίῳ τὸ σῶμά σοι μὴ ἀπαυδᾷ, ἐν τούτῳ τὴν ψυχὴν προαπαυδᾶν.

30 Ὅρα μὴ ἀποκαισαρωθῇς, μὴ βαφῇς· γίνεται γάρ. τήρησον οὖν σεαυτὸν ἁπλοῦν, ἀγαθόν, ἀκέραιον, σεμνόν, ἄκομψον, τοῦ δικαίου φίλον, θεοσεβῆ, εὐμενῆ, φιλόστοργον, ἐρρωμένον πρὸς τὰ πρέποντα ἔργα. ἀγώνισαι, ἵνα τοιοῦτος συμμείνῃς, οἷόν σε ἠθέλησε ποιῆσαι φιλοσοφία. αἰδοῦ θεούς, σῴζε ἀνθρώπους. βραχὺς ὁ βίος· εἷς καρπὸς τῆς ἐπιγείου ζωῆς, διάθεσις ὁσία καὶ πράξεις κοινωνικαί.

2 πάντα ὡς Ἀντωνίνου μαθητής· τὸ ὑπὲρ τῶν κατὰ λόγον πρασσομένων εὔτονον ἐκείνου καὶ τὸ ὁμαλὲς πανταχοῦ καὶ τὸ ὅσιον καὶ τὸ εὔδιον τοῦ προσώπου καὶ τὸ μειλίχιον καὶ τὸ ἀκενόδοξον καὶ

3 τὸ περὶ τὴν κατάληψιν τῶν πραγμάτων φιλότιμον· καὶ ὡς ἐκεῖνος οὐκ ἄν τι ὅλως παρῆκε, μὴ πρότερον | εὖ μάλα κατιδὼν καὶ σαφῶς νοήσας· καὶ ὡς ἔφερεν ἐκεῖνος τοὺς ἀδίκως αὐτῷ μεμφομένους μὴ ἀντιμεμφόμενος· καὶ ὡς ἐπ' οὐδὲν ἔσπευδεν· καὶ ὡς διαβολὰς οὐκ ἐδέχετο· καὶ ὡς ἀκριβὴς ἦν ἐξεταστὴς ἠθῶν καὶ πράξεων καὶ οὐκ

12 καθ' Ἡράκλειτον τῆς ἐν τῷ μεταβάλλεσθαι ἀναπαύλης Iambl. ap. Stob. *Ecl.* i, p. 375 27 incipit 363 r εὖ

1 προσοίσῃ A 2 ὀργίζωνται; μήτι ἂν οὐκ ἐξαριθμήσῃ A 3 γραμμάτων (rerum) 4 τούτους δὲ τ. A 6 περαίνει A 7 πῶς ⟨οὐκ⟩ Cas. 9 ἀγανακτεῖς P 12–3 νευροσπαστείας P 17 ἀποκαισαριανωθῃς A 19–20 τὰ πρότερα ἔργα A 21 ⟨ἡ⟩ φιλοσ. Reiske 22 οὐσία A 25 εὐόδιον P cod. P A: εὔδιον Xyl. μείλιχον A 28 αὐτὸν P: αὐτοῦ A corr. Stich

ὀνειδιστής, οὐ ψοφοδεής, οὐχ ὑπόπτης, οὐ σοφιστής· καὶ ὡς ὀλίγοις
4 ἀρκούμενος, οἷον οἰκήσει, στρωμνῇ, ἐσθῆτι, τροφῇ, ὑπηρεσίᾳ· καὶ
ὡς φιλόπονος καὶ μακρόθυμος· καὶ οἷος μέν⟨ειν⟩ ἐν τῷ ⟨αὐτῷ⟩
μέχρι ἑσπέρας διὰ τὴν λιτὴν δίαιταν μηδὲ τοῦ ἀποκρίνειν τὰ
περιττώματα παρὰ τὴν συνήθη ὥραν χρήζων· καὶ τὸ βέβαιον καὶ 5
ὅμοιον ἐν ταῖς φιλίαις αὐτοῦ· καὶ τὸ ἀνέχεσθαι ⟨τῶν⟩ ἀντιβαινόντων
παρρησιαστικῶς ταῖς γνώμαις αὐτοῦ καὶ χαίρειν εἴ τίς ⟨τι⟩ δεικνύοι
κρεῖττον· καὶ ὡς θεοσεβὴς χωρὶς δεισιδαιμονίας· ἵν' οὕτως εὐσυν-
ειδήτῳ σοι ἐπιστῇ ἡ τελευταία ὥρα ὡς ἐκείνῳ.

31 Ἀνάνηφε καὶ ἀνακαλοῦ σεαυτὸν καὶ ἐξυπνισθεὶς πάλιν καὶ 10
ἐννοήσας ὅτι ὄνειροί σοι ἠνώχλουν, πάλιν ἐγρηγορὼς βλέπε ταῦτα,
ὡς ἐκεῖνα ἔβλεπες.

32 Ἐκ σωματίου εἰμὶ καὶ ψυχῆς. τῷ μὲν οὖν σωματίῳ πάντα
ἀδιάφορα· οὐδὲ γὰρ δύναται διαφέρεσθαι. τῇ δὲ διανοίᾳ ἀδιάφορα
ὅσα μή ἐστιν αὐτῆς ἐνεργήματα· ὅσα δέ γε αὐτῆς ἐστιν ἐνεργήματα, 15
ταῦτα πάντα ἐπ' αὐτῇ ἐστιν. καὶ τούτων μέντοι περὶ μόνον τὸ
παρὸν πραγματεύεται· τὰ γὰρ μέλλοντα καὶ παρῳχηκότα ἐνεργή-
ματα αὐτῆς καὶ αὐτὰ ἤδη ἀδιάφορα.

33 Οὐκ ἔστιν ὁ πόνος τῇ χειρὶ οὐδὲ τῷ ποδὶ παρὰ φύσιν, μέχρις ἂν
ποιῇ ὁ ποῦς τὰ τοῦ ποδὸς καὶ ἡ χεὶρ τὰ τῆς χειρός. οὕτως οὖν 20
οὐδὲ ἀνθρώπῳ ὡς ἀνθρώπῳ παρὰ φύσιν ἐστὶν ὁ πόνος, μέχρις ἂν
ποιῇ τὰ τοῦ ἀνθρώπου· εἰ δὲ παρὰ φύσιν αὐτῷ οὐκ ἔστιν, οὐδὲ
κακόν ἐστιν αὐτῷ.

34 Ἡλίκας ἡδονὰς ἥσθησαν λῃσταί, κίναιδοι, πατραλοῖαι, | τύραννοι.

35 Οὐχ ὁρᾷς πῶς οἱ βάναυσοι τεχνῖται ἁρμόζονται μὲν μέχρι τινὸς 25
πρὸς τοὺς ἰδιώτας, οὐδὲν ἧσσον μέντοι ἀντέχονται τοῦ λόγου τῆς
τέχνης καὶ τούτου ἀποστῆναι οὐχ ὑπομένουσιν; οὐ δεινὸν εἰ ὁ
ἀρχιτέκτων καὶ ὁ ἰατρὸς μᾶλλον αἰδέσονται τὸν τῆς ἰδίας τέχνης

---

24 incipit 363 v *τύραννοι*

10–12 X, 19–23, 25–8 Mo 2 2 *εὐθύ τι* A 3 *μὲν ἐν τῷ* corr. Is. Cas. 5 *χρήζειν* A 6 *φίλ,αις* A ⟨*τῶν*⟩ Cor. 7 ⟨*τι*⟩ Cor. 8 *δυσιδαι-μονίας* A 11 *ὄνοιροι* P corr. Bas. 14 *οὐδὲ . . . ἀδιάφορα* om. A 16 *ἃ περὶ* P 18 *αὐτὰ ἢ διάφ.* A 20 *τὰ* pr. Mo 2: *τὸ* P A 21 *ὡς ἀνθρώπῳ* om. A 22–3 *οὐδὲ κακόν ἐ.* Mo 2: *οὐδὲ κακὸν οὔκ ἐ.* P A: *οὐδὲ κακὸν οὖν ἐ.* Menag. 23 *αὐτῶν* A: *αὐτὸν* Mo 2 24 *καὶ κίν.* A: *κύναιδοι* P corr. Bas. 25 *πόσοι β.* A Mo 2 *ἄχρι* P Mo 2 27 *οὐ δεινὸν* ⟨*οὖν*⟩ Jack. *εἰ* A 28 *αἰδέσσονται* A

λόγον ἢ ὁ ἄνθρωπος τὸν ἑαυτοῦ, ὃς αὐτῷ κοινός ἐστι πρὸς τοὺς θεούς;

36 Ἡ Ἀσία, ἡ Εὐρώπη γωνίαι τοῦ κόσμου· πᾶν πέλαγος σταγὼν τοῦ κόσμου· Ἄθως βωλάριον τοῦ κόσμου· πᾶν τὸ ἐνεστὼς τοῦ χρόνου στιγμὴ τοῦ αἰῶνος. πάντα μικρά, εὔτρεπτα, ἐναφανιζόμενα.

Πάντα ἐκεῖθεν ἔρχεται, ἀπ' ἐκείνου τοῦ κοινοῦ ἡγεμονικοῦ ὁρμήσαντα ἢ κατ' ἐπακολούθησιν. καὶ τὸ χάσμα οὖν τοῦ λέοντος καὶ τὸ δηλητήριον καὶ πᾶσα κακουργία, ὡς ἄκανθα, ὡς βόρβορος, ἐκείνων ἐπιγεννήματα τῶν σεμνῶν καὶ καλῶν. μὴ οὖν αὐτὰ ἀλλότρια τούτου οὗ σέβεις φαντάζου, ἀλλὰ τὴν πάντων πηγὴν ἐπιλογίζου.

37 Ὁ τὰ νῦν ἰδὼν πάντα ἑώρακεν, ὅσα τε ἐξ ἀϊδίου ἐγένετο καὶ ὅσα εἰς τὸ ἄπειρον ἔσται· πάντα γὰρ ὁμογενῆ καὶ ὁμοειδῆ.

38 Πολλάκις ἐνθυμοῦ τὴν ἐπισύνδεσιν πάντων τῶν ἐν τῷ κόσμῳ καὶ σχέσιν πρὸς ἄλληλα. τρόπον γάρ τινα πάντα ἀλλήλοις ἐπιπέπλεκται καὶ πάντα κατὰ τοῦτο φίλα ἀλλήλοις ἐστί· καὶ γὰρ ἄλλῳ ⟨ἄλλο⟩ ἐξῆς ἐστι ταῦτα διὰ τὴν τονικὴν κίνησιν καὶ σύμπνοιαν καὶ τὴν ἕνωσιν τῆς οὐσίας.

39 Οἷς συγκεκλήρωσαι πράγμασι, τούτοις συνάρμοζε σεαυτόν, καὶ οἷς συνείληχας ἀνθρώποις, τούτους φίλει, ἀλλ' ἀληθινῶς.

40 Ὄργανον, ἐργαλεῖον, σκεῦος πᾶν εἰ πρὸς ὃ κατεσκεύασται ποιεῖ, εὖ ἔχει· καίτοι ἐκεῖ ὁ κατασκευάσας ἐκποδών. ἐπὶ δὲ τῶν ὑπὸ φύσεως συνεχομένων ἔνδον ἐστὶ καὶ παραμένει ἡ κατασκευάσασα δύναμις· καθὸ καὶ μᾶλλον αἰδεῖσθαι αὐτὴν δεῖ καὶ νομίζειν, ἐὰν κατὰ τὸ βούλημα ταύτης ἔχῃς καὶ διεξάγῃς, ἔχειν σοι πάντα κατὰ νοῦν. ἔχει δὲ οὕτως καὶ τῷ παντὶ κατὰ νοῦν τὰ ἑαυτοῦ.

41 Ὅ τι ἂν τῶν ἀπροαιρέτων ὑποστήσῃ σαυτῷ ἀγαθὸν ἢ κακόν, ἀνάγκη κατὰ τὴν περίπτωσιν τοῦ τοιούτου κακοῦ ἢ τὴν ἀπότευξιν τοῦ τοιούτου ἀγαθοῦ μέμψασθαί σε θεοῖς | καὶ ἀνθρώπους δὲ

---

28 incipit 364 r καὶ

1–2 Mo 2 18–25 X 1–2 τὸν θεόν; Mo 2 4 Ἄθος A 5 ἐναφ. ⟨ἐν τῷ κόσμῳ⟩ Menag. 6 ⟨ἢ⟩ ἀπ' ἐκ. Morus 7 ὁρμήσαντος Cas. 9 ἐπιγενήματα P ἐπιγεννημᾶται A 10 σέβῃς A τῆς P corr. Bas. 11 ἐγίνετο A 14 ἐπιπλέκεται A 15 ἄλλο A: ἄλλῳ ⟨ἄλλο⟩ ἐξῆς ἐ., τοῦτο ⟨δὲ⟩ Cor. 16 τοῦτο P A corr. Sch. τοπικὴν κόνησιν P (constantem motum) 18 Τί συγκ. A. 21 ἐκεῖνο L 3 24 ἔχῃς καὶ om. A X διεξαγάγῃς P: αὐτὸν διεξ. A: σαυτὸν διεξ. Cor.: corr. Schultz² ἔχει σοι P 26 ὑποστήσῃς ἀυτω (sic) P: αὐτῷ A: corr. Leop. 27 τῷ τοιούτῳ κακῷ Cor. 27–8 κακοῦ . . . τοιούτου om. A

μισῆσαι τοὺς αἰτίους ὄντας ἢ ὑποπτευομένους ἔσεσθαι τῆς ἀποτεύξεως ἢ τῆς περιπτώσεως· καὶ ἀδικοῦμεν δὴ πολλὰ διὰ τὴν πρὸς ταῦτα διαφοράν. ἐὰν δὲ μόνα τὰ ἐφ' ἡμῖν ἀγαθὰ καὶ κακὰ κρίνωμεν, οὐδεμία αἰτία καταλείπεται οὔτε θεῷ ἐγκαλέσαι οὔτε πρὸς ἄνθρωπον στῆναι στάσιν πολεμίου.

42 Πάντες εἰς ἓν ἀποτέλεσμα συνεργοῦμεν, οἱ μὲν εἰδότως καὶ παρακολουθητικῶς, οἱ δὲ ἀνεπιστάτως, ὥσπερ καὶ τοὺς καθεύδοντας, οἶμαι, ὁ Ἡράκλειτος ἐργάτας εἶναι λέγει καὶ συνεργοὺς τῶν ἐν τῷ κόσμῳ γινομένων. ἄλλος δὲ κατ' ἄλλο συνεργεῖ, ἐκ περιουσίας δὲ καὶ ὁ μεμφόμενος καὶ ὁ ἀντιβαίνειν πειρώμενος καὶ ἀναιρεῖν τὰ γινόμενα· καὶ γὰρ τοῦ τοιούτου ἔχρῃζεν ὁ κόσμος. λοιπὸν οὖν σύνες εἰς τίνας ἑαυτὸν κατατάσσεις· ἐκεῖνος μὲν γὰρ πάντως σοι καλῶς χρήσεται ὁ τὰ ὅλα διοικῶν καὶ παραδέξεταί σε εἰς μέρος τι τῶν συνεργῶν καὶ συνεργητικῶν, ἀλλὰ σὺ μὴ τοιοῦτο μέρος γένῃ, οἷος ὁ εὐτελὴς καὶ γελοῖος στίχος ἐν τῷ δράματι, οὗ Χρύσιππος μέμνηται.

43 Μήτι ὁ Ἥλιος τὰ τοῦ Ὑετίου ἀξιοῖ ποιεῖν; μήτι ὁ Ἀσκληπιὸς τὰ τῆς Καρποφόρου; τί δὲ τῶν ἄστρων ἕκαστον; οὐχι διάφορα μέν, συνεργὰ δὲ πρὸς ταὐτόν;

44 Εἰ μὲν οὖν ἐβουλεύσαντο περὶ ἐμοῦ καὶ τῶν ἐμοὶ συμβῆναι ὀφειλόντων οἱ θεοί, καλῶς ἐβουλεύσαντο· ἄβουλον γὰρ θεὸν οὐδὲ ἐπινοῆσαι ῥᾴδιον, κακοποιῆσαι δέ με διὰ τίνα αἰτίαν ἔμελλον ὁρμᾶν; τί γὰρ αὐτοῖς ἢ τῷ κοινῷ, οὗ μάλιστα προνοοῦνται, ἐκ τούτου περιεγένετο; εἰ δὲ μὴ ἐβουλεύσαντο κατ' ἰδίαν περὶ ἐμοῦ, περί γε τῶν κοινῶν πάντως ἐβουλεύσαντο, οἷς κατ' ἐπακολούθησιν
2 καὶ ταῦτα συμβαίνοντα ἀσπάζεσθαι καὶ στέργειν ὀφείλω. εἰ δ' ἄρα περὶ μηδενὸς βουλεύονται (πιστεύειν μὲν οὐχ ὅσιον ἢ μηδὲ

---

8 Heracl. *Fr.* 75 D, 90 B; cf.

αὐτόματα γὰρ τὰ πράγματ' ἐπὶ τὸ συμφέρον
ῥεῖ κἂν καθεύδῃς ἢ πάλιν τοὐναντίον Menand. *Fr.* 460

15 ὥσπερ γὰρ αἱ κωμῳδίαι, φησίν, ἐπιγράμματα γελοῖα φέρουσιν, ἃ καθ' αὑτὰ μέν ἐστι φαῦλα, τῷ δὲ ὅλῳ ποιήματι χάριν τινὰ προστίθησιν, οὕτως ψέξειας ἂν αὐτὴν ἐφ' ἑαυτῆς τὴν κακίαν, τοῖς δὲ ὅλοις οὐκ ἄχρηστός ἐστιν Chrysippus ap. Plu. *Comm. Not.* 1065 d, cf. *Stoic. rep.* 1050 f; Arnim, *Stoic. Vet. Fragm.* ii. 339

16–26 Mo 2 1–2 ἀποτάξεως A 2 δὲ corr. Cas. 3 κινῶμεν corr. Cas. Gat. 7 παρακολουθηκῶς A 8 ἡράκλητος A 10 ὁ μὲν μεμφ. A ἀνταβαίνειν P corr. Bas. ἀνερεῖν A 12 τίνα σεαυτόν A 13 εἰς] ὡς Cor. 14 συνεργῶν καὶ om. A 14 οἷος ὁ P : οἷς A 16 ὑετοῦ correxi 20–21 οὐδ' ἔστι νοῆσαι [ῥᾴδιον] Nauck 23 περιεγίνετο Cor. 26 ἢ A

θύωμεν μηδὲ εὐχώμεθα μηδὲ ὀμνύωμεν μηδὲ τὰ ἄλλα πράσσωμεν ἃ παρ' ἕκαστα ὡς πρὸς παρόντας καὶ συμβιοῦντας τοὺς θεοὺς πράσσομεν), εἰ δ' ἄρα περὶ μηδενὸς τῶν καθ' ἡμᾶς | βουλεύονται, ἐμοὶ μὲν ἔξεστι περὶ ἐμαυτοῦ βουλεύεσθαι, ἐμοὶ δέ ἐστι σκέψις περὶ τοῦ συμφέροντος. συμφέρει δὲ ἑκάστῳ τὸ κατὰ τὴν ἑαυτοῦ κατασκευὴν καὶ φύσιν, ἡ δὲ ἐμὴ φύσις λογικὴ καὶ πολιτική.

Πόλις καὶ πατρὶς ὡς μὲν Ἀντωνίνῳ μοι ἡ Ῥώμη, ὡς δὲ ἀνθρώπῳ ὁ κόσμος. τὰ ταῖς πόλεσιν οὖν ταύταις ὠφέλιμα μόνα ἐστί μοι ἀγαθά.

45 Ὅσα ἑκάστῳ συμβαίνει, ταῦτα τῷ ὅλῳ συμφέρει· ἤρκει τοῦτο. ἀλλ' ἔτι ἐκεῖνο ὡς ἐπίπαν ὄψει παραφυλάξας, ὅσα ἀνθρώπῳ, καὶ ἑτέροις ἀνθρώποις. κοινότερον δὲ νῦν τὸ συμφέρον ἐπὶ τῶν μέσων λαμβανέσθω.

46 Ὥσπερ προσίσταταί σοι τὰ ἐν τῷ ἀμφιθεάτρῳ καὶ τοῖς τοιούτοις χωρίοις ὡς ἀεὶ τὰ αὐτὰ ὁρώμενα, καὶ τὸ ὁμοειδὲς προσκορῆ τὴν θέαν ποιεῖ, τοῦτο καὶ ἐπὶ ὅλου τοῦ βίου πάσχεις· πάντα γὰρ ἄνω κάτω τὰ αὐτὰ καὶ ἐκ τῶν αὐτῶν. μέχρι τίνος οὖν;

47 Ἐννόει συνεχῶς παντοίους ἀνθρώπους καὶ παντοίων μὲν ἐπιτηδευμάτων, παντοδαπῶν δὲ ἐθνῶν τεθνεῶτας, ὥστε κατιέναι τοῦτο μέχρι Φιλιστίωνος καὶ Φοίβου καὶ Ὀριγανίωνος. μέτιθι νῦν ἐπὶ τὰ ἄλλα φῦλα· ἐκεῖ δὴ μεταβαλεῖν ἡμᾶς δεῖ ὅπου τοσοῦτοι μὲν δεινοὶ ῥήτορες, τοσοῦτοι δὲ σεμνοὶ φιλόσοφοι, Ἡράκλειτος, Πυθαγόρας, Σωκράτης, τοσοῦτοι δὲ ἥρωες πρότερον, τοσοῦτοι δὲ ὕστερον στρατηγοί, τύραννοι· ἐπὶ τούτοις δὲ Εὔδοξος, Ἵππαρχος, Ἀρχιμήδης, ἄλλαι φύσεις ὀξεῖαι, μεγαλόφρονες, φιλόπονοι, πανοῦργοι, αὐθάδεις, αὐτῆς τῆς ἐπικήρου καὶ ἐφημέρου τῶν ἀνθρώπων ζωῆς χλευασταί, οἷον Μένιππος καὶ ὅσοι τοιοῦτοι. περὶ πάντων τούτων ἐννόει ὅτι πάλαι κεῖνται· τί οὖν τοῦτο δεινὸν αὐτοῖς; τί δαὶ

---

3 incipit 364 v βουλεύονται 27 ὁ Μένιππος οὗτος Κυνικὸς ἦν φιλόσοφος κατὰ τὸν Σεβαστὸν Ἀντωνῖνον φύσει κεχρημένος γενναίᾳ καὶ ἐλεγκτικῇ τε καὶ ἀποτόμῳ καλῶς τε τὸν Κύνα καὶ ἐμφιλοσόφως μετίων Schol. in Lucian. *Pisc.* 26 (p. 135 Rabe)

1–6 Mo 2 2 ἅπερ ἕκαστα corr. Cor. συμμιοῦντας A 3 καθ' ἡμῶν P 4 μὲν] δ' οὖν ὅμως Mo 2 6 πολιτικῆς A 11 καὶ Gat.: ἢ P A 12 ⟨ἢ⟩ ἐπὶ τ. μ. Lofft 13 λαμβάνεσθαι A 14 Ὅπερ Gat. προίσταταί A τὰ ἀμφὶ τῷ θεάτρῳ P 16 πάσχειν corr. Schultz 26 ταύτης τῆς Rich.

τοῖς μηδ' ὀνομαζομένοις ὅλως; ἓν ὧδε πολλοῦ ἄξιον, τὸ μετ' ἀληθείας καὶ δικαιοσύνης εὐμενῆ τοῖς ψεύσταις καὶ ἀδίκοις διαβιοῦν.

48 Ὅταν εὐφρᾶναι σεαυτὸν θέλῃς, ἐνθυμοῦ τὰ προτερήματα τῶν συμβιούντων· οἷον τοῦ μὲν τὸ δραστήριον, τοῦ δὲ τὸ αἰδῆμον, τοῦ δὲ | τὸ εὐμετάδοτον, ἄλλου δὲ ἄλλο τι. οὐδὲν γὰρ οὕτως εὐφραίνει ὡς τὰ ὁμοιώματα τῶν ἀρετῶν ἐμφαινόμενα τοῖς ἤθεσι τῶν συζώντων καὶ ἀθρόα ὡς οἷόν τε συμπίπτοντα. διὸ καὶ πρόχειρα αὐτὰ ἐκτέον.

49 Μήτι δυσχεραίνεις ὅτι τοσῶνδέ τινων λιτρῶν εἶ καὶ οὐ τριακοσίων; οὕτω δὴ καὶ ὅτι μέχρι τοσῶνδε ἐτῶν βιωτέον σοι καὶ οὐ μέχρι πλείονος; ὥσπερ γὰρ τῆς οὐσίας ὅσον ἀφώρισταί σοι στέργεις, οὕτως καὶ ἐπὶ τοῦ χρόνου.

50 Πειρῶ μὲν πείθειν αὐτούς, πρᾶττε δὲ καὶ ⟨αὐ⟩τῶν ἀκόντων, ὅταν τῆς δικαιοσύνης ὁ λόγος οὕτως ἄγῃ. ἐὰν μέντοι βίᾳ τις προσχρώμενος ἐνίστηται, μετάβαινε ἐπὶ τὸ εὐάρεστον καὶ ἄλυπον καὶ συγχρῶ εἰς ἄλλην ἀρετὴν τῇ κωλύσει, καὶ μέμνησο ὅτι μεθ' ὑπεξαιρέσεως ὥρμας καὶ ὅτι τῶν ἀδυνάτων οὐκ ὠρέγου. τίνος οὖν; τῆς τοιᾶσδέ τινος ὁρμῆς. τούτου δὲ τυγχάνεις· ἐφ' οἷς προήχθημεν, ταῦτα γίνεται.

51 Ὁ μὲν φιλόδοξος ἀλλοτρίαν ἐνέργειαν ἴδιον ἀγαθὸν ὑπολαμβάνει, ὁ δὲ φιλήδονος ἰδίαν πεῖσιν, ὁ δὲ νοῦν ἔχων ἰδίαν πρᾶξιν.

52 Ἔξεστι περὶ τούτου μηδὲν ὑπολαμβάνειν καὶ μὴ ὀχλεῖσθαι τῇ ψυχῇ· αὐτὰ γὰρ τὰ πράγματα οὐκ ἔχει φύσιν ποιητικὴν τῶν ἡμετέρων κρίσεων.

53 Ἔθισον σεαυτὸν πρὸς τῷ ὑφ' ἑτέρου λεγομένῳ γίνεσθαι ἀπαρενθυμήτως καὶ ὡς οἷόν τε ἐν τῇ ψυχῇ τοῦ λέγοντος γίνου.

54 Τὸ τῷ σμήνει μὴ συμφέρον οὐδὲ τῇ μελίσσῃ συμφέρει.

55 Εἰ κυβερνῶντα οἱ ναῦται ἢ ἰατρεύοντα οἱ κάμνοντες κακῶς

---

5 incipit 365 r τὸ εὐμ.

---

2 ἀδίκως A 6–7 ἐμφαινόμενα . . . συζώντων om. A 7 συμπροσπίπτοντα, forsan Leop. 9 δυσχεραίνης A 11 στέργοις P: corr. Bas. 13 Πειρῶμεν corr. Holst. τῶν P (etiam illis invitis): om. A: corr. Menag. 14 οὕτος A αἱρῇ Rich. 17 ὁρμᾷς corr. Cor. ὅτι καὶ corr. Gat. ὀρέγου P 18 ⟨εἰ⟩ τυγχ. Lofft. 18–19 ⟨εἰ⟩ ἐφ' οἷς προήχθης Cor.: προήχθης Gat. 22 ὀχλῆσθαι A 25 Ἴθισον A πρὸς τὸ . . . λεγομένῳ P: πρὸς τῶν . . . λεγομένου A: corr. Cor. 25–6 ἀπαρενθυμήτων A 28 κυβερνῶνται . . . ἰατρεύονται P

ἔλεγον, ἄλλῳ τινὶ ἂν προσεῖχον; ἢ πῶς ⟨ἂν⟩ αὐτὸς ἐνεργοίη τὸ τοῖς ἐμπλέουσι σωτήριον ἢ τὸ τοῖς θεραπευομένοις ὑγιεινόν;

56 Πόσοι, μεθ' ὧν εἰσῆλθον εἰς τὸν κόσμον, ἤδη ἀπεληλύθασιν.

57 Ἰκτεριῶσι τὸ μέλι πικρὸν φαίνεται καὶ λυσσοδήκτοις τὸ ὕδωρ φοβερὸν καὶ παιδίοις τὸ σφαιρίον καλόν. τί οὖν ὀργίζομαι; ἢ δοκεῖ σοι ἔλασσον ἰσχύειν τὸ διεψευσμένον ἢ τὸ χόλιον τῷ ἰκτεριῶντι καὶ ὁ ἰὸς τῷ λυσσοδήκτῳ; |

58 Κατὰ τὸν λόγον τῆς σῆς φύσεως βιοῦν σε οὐδεὶς κωλύσει· παρὰ τὸν λόγον τῆς κοινῆς φύσεως οὐδέν σοι συμβήσεται.

59 Οἷοί εἰσιν οἷς θέλουσιν ἀρέσκειν, καὶ δι' οἷα περιγινόμενοι καὶ δι' οἵων ἐνεργειῶν. ὡς ταχέως ὁ αἰὼν πάντα καλύψει καὶ ὅσα ἐκάλυψεν ἤδη.

ΒΙΒΛΙΟΝ Ζ

1 Τοῦτ' ἔστι κακία· τοῦτ' ἔστιν ὃ πολλάκις εἶδες. καὶ ἐπὶ παντὸς δὲ τοῦ συμβαίνοντος πρόχειρον ἔχε ὅτι τοῦτό ἐστιν ὃ πολλάκις εἶδες. ὅλως ἄνω κάτω τὰ αὐτὰ εὑρήσεις, ὧν μεσταὶ αἱ ἱστορίαι αἱ παλαιαί, αἱ μέσαι, αἱ ὑπόγυιοι· ὧν νῦν μεσταὶ αἱ πόλεις καὶ οἰκίαι. οὐδὲν καινόν· πάντα καὶ συνήθη καὶ ὀλιγοχρόνια.

2 Ζῇ τὰ δόγματα· πῶς γὰρ ἄλλως δύναται νεκρωθῆναι, ἐὰν μὴ αἱ κατάλληλοι αὐτοῖς φαντασίαι σβεσθῶσιν, ἃς διηνεκῶς ἀναζωπυρεῖν ἐπὶ σοί ἐστιν; δύναμαι περὶ τούτου ὃ δεῖ ὑπολαμβάνειν· εἰ δύναμαι, τί ταράσσομαι; τὰ ἔξω τῆς ἐμῆς διανοίας οὐδὲν ὅλως πρὸς τὴν ἐμὴν διάνοιαν. τοῦτο μάθε καὶ ὀρθὸς εἶ. ἀναβιῶναί σοι ἔξεστιν· ἴδε πάλιν τὰ πράγματα, ὡς ἑώρας· ἐν τούτῳ γὰρ τὸ ἀναβιῶναι.

3 Πομπῆς κενοσπουδία, ἐπὶ σκηνῆς δράματα, ποίμνια, ἀγέλαι, διαδορατισμοί, κυνιδίοις ὀστάριον ἐρριμμένον, ψωμίον εἰς τὰς τῶν ἰχθύων δεξαμενάς, μυρμήκων ταλαιπωρίαι καὶ ἀχθοφορίαι, μυιδίων

---

8 incipit 365 v *Κατὰ*

---

1 *τίνι* corr. Cas. ἂν supplevi *ἐνεργοίην* Rich. 3 *ὅσοι* A *προαπεληλύθασιν* Reiske 6 ⟨*τὸ δόγμα*⟩ *ἔλασσον ἰσχύειν τῷ διεψευσμένῳ* Reiske *κτεριόντι* A 8 *σῆς* om. A 10 δι' οἷ × × οι τὰ π. A: δι' *οἷα περιγινόμενα* P: δι' *οἷά τινα* Sch.: correxi 13 *Τοῦτ'*] novam habet lineam A *Τί ἐστι κακία* P 16 ⟨*αἱ*⟩ *οἰκίαι* Cor. 17 *συνήθη ὀλιγοχρ.* P 18 *Ἢ τὰ δόγματα πῶς γὰρ* A: *Τὰ δόγματα πῶς ἄλλως* P: corr. Stich: *Ἰδὲ τὰ δ.* Rend. 19 *κατάλληλαι* A *ὡς διην.* P (quas) 20 *εἰ γὰρ* A: *εἰ ἄρα* Rend. 22 *πάθε* P *ὀρθῶς εἶ. εἰ ἀναβ.* A 23 *τὸ*] *τῷ* A 26 *μυδίων* A

ἐπτοημένων διαδρομαί, σιγιλλάρια νευροσπαστούμενα. χρὴ οὖν ἐν τούτοις εὐμενῶς μὲν καὶ μὴ καταφρυαττόμενον ἑστάναι, παρακολουθεῖν μέντοι, ὅτι τοσούτου ἄξιος ἕκαστός ἐστιν, ὅσου ἀξιά ἐστι ταῦτα περὶ ἃ ἐσπούδακεν.

4 Δεῖ κατὰ λέξιν παρακολουθεῖν τοῖς λεγομένοις καὶ καθ' ἑκάστην ὁρμὴν τοῖς γινομένοις, καὶ ἐπὶ μὲν τοῦ ἑτέρου εὐθὺς ὁρᾶν ἐπὶ τίνα σκοπὸν ἡ ἀναφορά, ἐπὶ δὲ τοῦ ἑτέρου παραφυλάσσειν τί τὸ σημαινόμενον.

5 Πότερον ἐξαρκεῖ ἡ διάνοιά μου πρὸς τοῦτο ἢ οὔ; εἰ μὲν ἐξαρκεῖ, χρῶμαι αὐτῇ πρὸς τὸ ἔργον | ὡς ὀργάνῳ παρὰ τῆς τῶν ὅλων φύσεως δοθέντι. εἰ δὲ μὴ ἐξαρκεῖ, ἤτοι παραχωρῶ τοῦ ἔργου τῷ δυναμένῳ κρεῖττον ἐπιτελέσαι, ἐὰν ἄλλως τοῦτό μοι καθήκῃ, ἢ πράσσω ὡς δύναμαι, προσπαραλαβὼν τὸν δυνάμενον κατὰ πρόσχρησιν τοῦ ἐμοῦ ἡγεμονικοῦ ποιῆσαι τὸ εἰς τὴν κοινωνίαν νῦν καίριον καὶ χρήσιμον. ὅ τι γὰρ ἂν δι' ἐμαυτοῦ ἢ σὺν ἄλλῳ ποιῶ, ὧδε μόνον χρὴ συντείνειν, εἰς τὸ κοινῇ χρήσιμον καὶ εὐάρμοστον.

6 Ὅσοι μὲν πολυύμνητοι γενόμενοι ἤδη λήθῃ παραδέδονται, ὅσοι δὲ τούτους ὑμνήσαντες πάλαι ἐκποδών.

7 Μὴ αἰσχύνου βοηθούμενος· πρόκειται γάρ σοι ἐνεργεῖν τὸ ἐπιβάλλον ὡς στρατιώτῃ ἐν τειχομαχίᾳ. τί οὖν, ἐὰν σὺ μὲν χωλαίνων ἐπὶ τὴν ἔπαλξιν ἀναβῆναι μόνος μὴ δύνῃ, σὺν ἄλλῳ δὲ δυνατὸν ᾖ τοῦτο;

8 Τὰ μέλλοντα μὴ ταρασσέτω· ἥξεις γὰρ ἐπ' αὐτά, ἐὰν δεήσῃ, φέρων τὸν αὐτὸν λόγον ᾧ νῦν πρὸς τὰ παρόντα χρᾷ.

9 Πάντα ἀλλήλοις ἐπιπέπλεκται καὶ ἡ σύνδεσις ἱερά, καὶ σχεδόν τι οὐδὲν ἀλλότριον ἄλλο ἄλλῳ· συγκατατέτακται γὰρ καὶ συγκοσμεῖ τὸν αὐτὸν κόσμον. κόσμος τε γὰρ εἷς ἐξ ἁπάντων καὶ θεὸς εἷς δι'

---

10 incipit 366 r ὡς

25 εἰ δ' ἄγε πειρήσασθε, θεοί, ἵνα εἴδετε πάντες,
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες Hom. *Il.* viii. 18

26 κόσμον τόνδε τὸν αὐτὸν ἁπάντων . . . ἦν αἰεὶ καὶ ἔστι καὶ ἔσται πῦρ ἀείζωον Heracl. 30 D, 20 B

19–21 X 1 νευροπαστούμενα A 2 φρυαττόμενον P 5–6 ⟨καὶ ἐπὶ μὲν τοῦ ἑτέρου⟩ καὶ καθ' ἑ. ὁ. τ. γ. καὶ ἐπὶ μὲν τοῦ ἑτέρου A 10 αὐτὴν A 12 ἢ ἐὰν ἄλλῳ τ. μ. κ. πράσσω Reiske μοι Menag.: μὴ 17 παραδίδονται A Ὅσοι . . . ἐκποδών aliunde invecta 19 τοὐπιβάλλον X 20 τῇ χομαχία A χωλεύων X 21 οὐ δύνῃ Mo 2 22 ἐξεις A 24 ἐπιπλέκεται corr. Cor. cf. vi. 38 ἱερά] στερεά conj. Trann. 26 γὰρ εἷς διὰ ἁπάντων P 26–1 διὰ πάντων: corr. Leop.

ἁπάντων καὶ οὐσία μία καὶ νόμος εἷς, λόγος κοινὸς πάντων τῶν νοερῶν ζῴων, καὶ ἀλήθεια μία, εἴγε καὶ τελειότης μία τῶν ὁμογενῶν καὶ τοῦ αὐτοῦ λόγου μετεχόντων ζῴων.

10 Πᾶν τὸ ἔνυλον ἐναφανίζεται τάχιστα τῇ τῶν ὅλων οὐσίᾳ καὶ πᾶν αἴτιον εἰς τὸν τῶν ὅλων λόγον τάχιστα ἀναλαμβάνεται καὶ παντὸς μνήμη τάχιστα ἐγκαταχώννυται τῷ αἰῶνι.

11 Τῷ λογικῷ ζῴῳ ἡ αὐτὴ πρᾶξις κατὰ φύσιν ἐστὶ καὶ κατὰ λόγον.

12 Ὀρθός, ἢ ὀρθούμενος.

13 Οἷόν ἐστιν ἐν ἡνωμένοις τὰ μέλη τοῦ σώματος, τοῦτον ἔχει τὸν λόγον ἐν διεστῶσι τὰ λογικά, πρὸς μίαν τινὰ συνεργίαν κατεσκευασμένα. μᾶλλον δέ σοι ἡ τούτου νόησις προσπεσεῖται, ἐὰν πρὸς ἑαυτὸν πολλάκις λέγῃς, ὅτι μέλος εἰμὶ τοῦ ἐκ τῶν λογικῶν συστήματος. ἐὰν δὲ διὰ τοῦ ῥῶ στοιχείου | μέρος εἶναι ἑαυτὸν λέγῃς, οὔπω ἀπὸ καρδίας φιλεῖς τοὺς ἀνθρώπους· οὔπω σε καταληκτικῶς εὐφραίνει τὸ εὐεργετεῖν· ἔτι ὡς πρέπον αὐτὸ ψιλὸν ποιεῖς, οὔπω ὡς ἑαυτὸν εὖ ποιῶν.

14 Ὃ θέλει, ἔξωθεν προσπιπτέτω τοῖς παθεῖν ἐκ τῆς προσπτώσεως ταύτης δυναμένοις. ἐκεῖνα γάρ, ἐὰν θελήσῃ, μέμψεται τὰ παθόντα, ἐγὼ δέ, ἐὰν μὴ ὑπολάβω ὅτι κακὸν τὸ συμβεβηκός, οὔπω βέβλαμμαι· ἔξεστι δέ μοι μὴ ὑπολαβεῖν.

15 Ὅ τι ἄν τις ποιῇ ἢ λέγῃ, ἐμὲ δεῖ ἀγαθὸν εἶναι, ὡς ἂν εἰ ὁ χρυσὸς ἢ ὁ σμάραγδος ἢ ἡ πορφύρα τοῦτο ἀεὶ ἔλεγεν· ὅ τι ἄν τις ποιῇ ἢ λέγῃ, ἐμὲ δεῖ σμάραγδον εἶναι καὶ τὸ ἐμαυτοῦ χρῶμα ἔχειν.

16 Τὸ ἡγεμονικὸν αὐτὸ ἑαυτῷ οὐκ ἐνοχλεῖ, οἷον λέγω, οὐ φοβεῖ ἑαυτὸ . . . εἰς ἐπιθυμίαν. εἰ δέ τις ἄλλος αὐτὸ φοβῆσαι ἢ λυπῆσαι δύναται, ποιείτω· αὐτὸ γὰρ ἑαυτὸ ὑπολῃπτικῶς οὐ τρέψει εἰς τοιαύτας τροπάς. τὸ σωμάτιον μὴ πάθῃ τι, αὐτὸ μεριμνάτω, εἰ δύναται· καὶ λεγέτω, εἴ τι πάσχει, τὸ [δὲ] ψυχάριον τὸ φοβούμενον, τὸ λυπούμενον· τὸ ⟨δὲ⟩ περὶ τούτων ὅλως ὑπολαμβάνον οὐδὲν μὴ

---

13 incipit 366 v μέρος

---

1 ⟨εἷς⟩ λόγος Menag. 2 ἡ ἀλήθεια A 5–6 ἀναλαμβάνεται . . . τάχιστα om. A 8 μὴ Cas. 13 διὰ τοῦ ῥῶ στοιχείου om. Xyl. secl. Gat. 14 καταληπτικῶς corr. Gat. 15 ἔτι εἰ ὡς A 16 αὐτὸν P 17 θέλεις A προπιπτέτω A πάθεσιν A 22 ὅ τις ἂν P: ὃ ἄν τις A corr. Gat. 23 τὸ om. A 24 Τὸ ἡ. τοῦτο A σοβεῖ Sch. 25 ἑαυτῷ A ⟨οὐκ ἄγει⟩ εἰς ἀθυμίαν Salm.: lacunam indicavi 26 ποιεῖ τὸ αὐτὸ γὰρ ἑαυτω A 28–29 πάσχει. τὸ δὲ codd. et editt. distinxi et [δὲ] ⟨δὲ⟩ scripsi

πάθῃ· οὐ γὰρ ᾄξει αὐτὸ εἰς κρίσιν τοιαύτην. ἀπροσδεές ἐστιν ὅσον ἐφ' ἑαυτῷ τὸ ἡγεμονικόν, ἐὰν μὴ ἑαυτῷ ἔνδειαν ποιῇ· κατὰ ταὐτὰ δὲ καὶ ἀτάραχον καὶ ἀνεμπόδιστον, ἐὰν μὴ ἑαυτὸ ταράσσῃ καὶ ἐμποδίζῃ.

17 Εὐδαιμονία ἐστὶ δαίμων ἀγαθὸς ἢ ⟨δαιμόνιον⟩ ἀγαθόν. τί οὖν ὧδε ποιεῖς, ὦ φαντασία; ἀπέρχου, τοὺς θεούς σοι, ὡς ἦλθες· οὐ γὰρ χρῄζω σου. ἐλήλυθας δὲ κατὰ τὸ ἀρχαῖον ἔθος. οὐκ ὀργίζομαί σοι· μόνον ἄπιθι.

18 Φοβεῖταί τις μεταβολήν; τί γὰρ δύναται χωρὶς μεταβολῆς γενέσθαι; τί δὲ φίλτερον ἢ οἰκειότερον τῇ τῶν ὅλων φύσει; σὺ δὲ αὐτὸς λούσασθαι δύνασαι, ἐὰν μὴ τὰ ξύλα μεταβάλῃ; τραφῆναι δὲ δύνασαι, ἐὰν μὴ τὰ ἐδώδιμα μεταβάλῃ; ἄλλο δέ τι τῶν χρησίμων δύναται | συντελεσθῆναι χωρὶς μεταβολῆς; οὐχ ὁρᾷς οὖν ὅτι καὶ αὐτὸ τὸ σὲ μεταβαλεῖν ὅμοιόν ἐστι καὶ ὁμοίως ἀναγκαῖον τῇ τῶν ὅλων φύσει;

19 Διὰ τῆς τῶν ὅλων οὐσίας ὡς διὰ χειμάρρου διεκπορεύεται πάντα τὰ σώματα, τῷ ὅλῳ συμφυῆ καὶ συνεργὰ ὡς τὰ ἡμέτερα μέλη ἀλλήλοις. πόσους ἤδη ὁ αἰὼν Χρυσίππους, πόσους Σωκράτεις, πόσους Ἐπικτήτους καταπέπωκεν. τὸ δ' αὐτὸ καὶ ἐπὶ παντὸς οὑτινοσοῦν σοι ἀνθρώπου τε καὶ πράγματος προσπιπτέτω.

20 Ἐμὲ ἓν μόνον περισπᾷ, μή τι αὐτὸς ποιήσω, ὃ ἡ κατασκευὴ τοῦ ἀνθρώπου οὐ θέλει ἢ ὡς οὐ θέλει ἢ ὃ νῦν οὐ θέλει.

---

5 ἅτε δὲ ἀεὶ θεραπεύοντα τὸ θεῖον ἔχοντά τε αὐτὸν εὖ κεκοσμημένον τὸν δαίμονα σύνοικον ἐν αὐτῷ, διαφερόντως εὐδαίμονα εἶναι Pl. *Ti.* 90 c

εὐδαίμονα εἶναι τὸν τὴν ψυχὴν ἔχοντα σπουδαίαν· ταύτην γὰρ ἑκάστου εἶναι δαίμονα Xenocr. ap. Arist. *Top.* 112ᵇ37

αὐτὸς δὲ ὁ Πλάτων τὴν εὐδαιμονίαν τὸ εὖ τὸν δαίμονα ἔχειν, δαίμονα δὲ λέγεσθαι τὸ τῆς ψυχῆς ἡμῶν ἡγεμονικόν (i.e. *Ti.* 90 c) Clem. Alex. *Strom.* 2, p. 499 P

εὖ μοι κέχρηται καὶ προσηκόντως πάνυ
τὸ δαιμόνιον Menand. *Epitrep.* 527

13 incipit 367 r συντελεσ.

9–15 X 1 οὐ γὰρ ἔξεις P A correxi: εἰ οὐκ ἄξεις Salm.: οὐ γὰρ ἄξεις Stich 2 ταῦτα A 3 ἑαυτῷ A 5 ⟨δαιμόνιον⟩ March. 9 τί δὲ δ. X 10 τί δαὶ P εἰκειότερον A 11 αὐτοὺς A μεταβάλῃς X 12 δύνησαι A μεταβάλῃς X: μεταβάλει P corr. Bas. 13 τελεσθῆναι X 14 μεταβαλεῖν P A X plerique: suprascr. λ Par. 1: μεταβάλλειν Cor. 17 μέρη corr. Cor. 18 σωκράτας A 21 αὐτὸ A 22 οὐ tert. om. A

21 Ἐγγὺς μὲν ἡ σὴ περὶ πάντων λήθη, ἐγγὺς δὲ ἡ πάντων περὶ σοῦ λήθη.

22 Ἴδιον ἀνθρώπου φιλεῖν καὶ τοὺς πταίοντας. τοῦτο δὲ γίνεται, ἐὰν συμπροσπίπτῃ σοι, ὅτι καὶ συγγενεῖς καὶ δι' ἄγνοιαν καὶ ἄκοντες ἁμαρτάνουσι καὶ ὡς μετ' ὀλίγον ἀμφότεροι τεθνήξεσθε, καὶ πρὸ πάντων, ὅτι οὐκ ἔβλαψέ σε· οὐ γὰρ τὸ ἡγεμονικόν σου χεῖρον ἐποίησεν ἢ πρόσθεν ἦν.

23 Ἡ τῶν ὅλων φύσις ἐκ τῆς ὅλης οὐσίας ὡς κηροῦ νῦν μὲν ἵππάριον ἔπλασε, συγχέασα δὲ τοῦτο εἰς δενδρύφιον συνεχρήσατο τῇ ὕλῃ αὐτοῦ· εἶτα εἰς ἄνθρωπάριον· εἶτα εἰς ἄλλο τι· ἕκαστον δὲ τούτων πρὸς ὀλίγιστον ὑπέστη. δεινὸν δὲ οὐδὲν τὸ διαλυθῆναι τῷ κιβωτίῳ, ὥσπερ οὐδὲ τὸ συμπαγῆναι.

24 Τὸ ἐπίκοτον τοῦ προσώπου λίαν παρὰ φύσιν, ὅταν ⟨δὲ⟩ †πολλάκις ᾖ, ἐναποθνήσκει ⟨τὸ⟩ πρόσχημα ἢ τὸ τελευταῖον ἀπεσβέσθη, ὥστε ὅλως ἐξαφθῆναι μὴ δύνασθαι. . . . αὐτῷ γε τούτῳ παρακολουθεῖν πειρῶ, ὅτι παρὰ τὸν λόγον. εἰ γὰρ καὶ ἡ συναίσθησις τοῦ ἁμαρτάνειν οἰχήσεται, τίς ἔτι τοῦ ζῆν αἰτία;

25 Πάντα ὅσα ὁρᾷς ὅσον οὔπω μεταβαλεῖ ἡ τὰ ὅλα διοικοῦσα φύσις καὶ ἄλλα ἐκ τῆς οὐσίας αὐτῶν ποιήσει καὶ πάλιν ἄλλα ἐκ τῆς ἐκείνων οὐσίας, ἵνα ἀεὶ νεαρὸς ᾖ ὁ κόσμος.

26 Ὅταν τις ἁμάρτῃ τι εἰς σέ, εὐθὺς ἐνθυμοῦ τί ἀγαθὸν ἢ κακὸν ὑπολαβὼν ἥμαρτεν. τοῦτο γὰρ ἰδὼν ἐλεήσεις αὐτὸν καὶ οὔτε θαυμάσεις οὔτε ὀργισθήσῃ. ἤτοι γὰρ καὶ αὐτὸς τὸ αὐτὸ ἐκείνῳ ἀγαθὸν ἔτι ὑπολαμβάνεις ἢ ἄλλο ὁμοειδές· δεῖ οὖν συγγινώσκειν. εἰ δὲ μηκέτι ὑπολαμβάνεις | τὰ τοιαῦτα ἀγαθὰ καὶ κακά, ῥᾷον εὐμενὴς ἔσῃ τῷ παρορῶντι.

---

8 καθόλου δὲ ὥσπερ τὸν αὐτὸν κηρὸν ὁ μέν τις κύνα ἔπλασεν, ὁ δὲ βοῦν, ὁ δὲ ἵππον Demetrius *De Interp.* 296 ὡς γὰρ ἐκ τοῦ αὐτοῦ πηλοῦ δύναταί τις πλάττων ζῷα συγχεῖν καὶ πάλιν πλάττειν καὶ συγχεῖν . . . οὕτω καὶ ἡ φύσις ἐκ τῆς αὐτῆς ὕλης πάλαι μὲν τοὺς προγόνους ἡμῶν ἀνέσχεν, εἶτα συγχέασ' αὐτούς . . . Plu. *Cons. ad Apoll.* 106 e 25 incipit 367 v τὰ

3–7 Μάρκου Αντωνίνου ἐκ τῶν καθ' αὑτόν incip. X 8–12 Ἐπικτήτου ἐγχειρίδιον δεύτερον incip. Mo 2 3 τὸ φιλεῖν V 3, 4, 5 γίνοιτ' ἄν vel γένοιτ' ἄν X 4 προσπίπτῃ X 4–5 δι' ἄγνοιαν ἄκοντες L 2, 3, Par. 4 5 ὡς om. A: καὶ ὅτιπερ ἀμφ. X τεθνήξετε P: τεθνήξεσθαι A 9 δένδρου φύσιν corr. Nauck 10 εἶτα ὡς ἄλλο τι A 11 τὸ κιβωτίῳ A 12 συμπαγῆναι ⟨ἀγαθόν⟩ Kron. 13–4 πολλάκις ἐναποθνησκειν ᾖ (ἢ A): Gat. sequor: ⟨δὲ⟩ πολλάκις ⟨γίγνηται⟩, ἐναποθνήσκει ⟨τὸ⟩ Cor. 14 τελευταίαν A 15 post δύνασθαι lacunam indicavi τοῦτο A 16 ὅ, τι Jack. 17 τοῦ ⟨μὴ⟩ Cor. 21–2 ὑπολαβὸν A 24 ᾖ] εἰ P (aut) corr. Bas. 25 καλά A ῥάδιον A

27 Μὴ τὰ ἀπόντα ἐννοεῖν ὡς ἤδη ὄντα, ἀλλὰ τῶν παρόντων τὰ δεξιώτατα ἐκλογίζεσθαι καὶ τούτων χάριν ὑπομιμνῄσκεσθαι πῶς ἂν ἐπεζητεῖτο, εἰ μὴ παρῆν. ἅμα μέντοι φυλάσσου, μὴ διὰ τοῦ οὕτως ἀσμενίζειν αὐτοῖς ἐθίσῃς ἐκτιμᾶν αὐτά, ὥστε, ἐάν ποτε μὴ παρῇ, ταραχθήσεσθαι.

28 Εἰς ἑαυτὸν συνειλοῦ· φύσιν ἔχει τὸ λογικὸν ἡγεμονικὸν ἑαυτῷ ἀρκεῖσθαι δικαιοπραγοῦντι καὶ παρ' αὐτὸ τοῦτο γαλήνην ἔχοντι.

29 Ἐξάλειψον τὴν φαντασίαν. στῆσον τὴν νευροσπαστίαν. περίγραψον τὸ ἐνεστὼς τοῦ χρόνου. γνώρισον τὸ συμβαῖνον ἢ σοὶ ἢ ἄλλῳ. δίελε καὶ μέρισον τὸ ὑποκείμενον εἰς τὸ αἰτιῶδες καὶ ὑλικόν. ἐννόησον τὴν ἐσχάτην ὥραν. τὸ ἐκείνῳ ἁμαρτηθὲν ἐκεῖ κατάλιπε ὅπου ἡ ἁμαρτία ὑπέστη.

30 Συμπαρεκτείνειν τὴν νόησιν τοῖς λεγομένοις. εἰσδύεσθαι τὸν νοῦν εἰς τὰ γινόμενα καὶ ⟨τὸν⟩ ποιοῦντα.

31 Φαίδρυνον σεαυτὸν ἁπλότητι καὶ αἰδοῖ καὶ τῇ πρὸς τὸ ἀνὰ μέσον ἀρετῆς καὶ κακίας ἀδιαφορίᾳ. φίλησον τὸ ἀνθρώπινον γένος. ἀκολούθησον θεῷ. ἐκεῖνος μέν φησιν ὅτι "πάντα νομιστί, ἐτεῇ δὲ μόνα τὰ στοιχεῖα", ἀρκεῖ δὲ μεμνῆσθαι ὅτι τὰ πάντα νομιστὶ ἔχει· ἤδη λίαν ὀλίγα.

32 Περὶ θανάτου· ἢ σκεδασμός, εἰ ἄτομοι· εἰ δ' ἕνωσις, ἤτοι σβέσις ἢ μετάστασις.

33 Περὶ πόνου· τὸ μὲν ἀφόρητον ἐξάγει, τὸ δὲ χρονίζον φορητόν· καὶ ἡ διάνοια τὴν ἑαυτῆς γαλήνην κατὰ ἀπόληψιν διατηρεῖ καὶ οὐ χεῖρον τὸ ἡγεμονικὸν γέγονε, τὰ δὲ κακούμενα μέρη ὑπὸ τοῦ πόνου, εἴ τι δύναται, περὶ αὐτοῦ ἀποφηνάσθω.

17 νόμῳ ψυχρόν, νόμῳ θερμόν, ἐτεῇ δὲ ἄτομα καὶ κενόν Democrit. *ap* D.L. ix. 72 ἐτεῇ δὲ οὐδὲν ἴδμεν· ἐν βυθῷ γὰρ ἡ ἀλήθεια D.L. ibid. νόμῳ χροιή, νόμῳ γλυκύ, νόμῳ πικρόν, εἰπών, ἐτεῇ δ' ἄτομα καὶ κενόν Galen, *Fr. De med. emp.* (H. Schöne, *Berl. Sitz.* 1901), 1259, Democrit. *Fr.* 117, 125 D 22 cf. M. Anton. vii. 64; οἱ μεγάλοι πόνοι συντόμως ἐξάγουσιν, οἱ δὲ χρόνιοι μέγεθος οὐκ ἔχουσιν Plu. *De poet. aud.* 36 b, Epicur. *Fr.* 447 Us.

6–10 D 1 ἡδέα ὄντα Schultz : ἡδίω ὄντα Rend. 2 καὶ . . . ὑπομιμνῄσκεσθαι om. A 4 ὄντως A ἐκθίσῃς A 6 αὐτὸν P D corr.: αὐτὸν A D pr.: σαυτὸν D suprascr.: correxi τὸν A 11–2 ἐννόησον . . . ὑπέστη om. D 11 κατάλειπε A 14 εἰς τὰ om. A τὰ ⟨νῦν⟩ Sch. τὸν supplevi 17 ἔτι εἰ P: ἔτι ἢ A corr. Usener 17–8 δὲ μόνα Cas: δαίμονα 18 ὅτι ⟨εἰ⟩ τὰ πάντα νομιστί, ἐτεῇ δὴ λίαν ὀλίγα Usener 19 ἔχεις ἤδη Rend. ἤδη λίαν Cas: ἢ δὴ λίαν Xyl. (aut admodum pauca secus, quod probat Cas.): ἢ δηλίαν 20 εἰ σκεδ. ἢ ἄτ. P (aut . . . aut) ἢ κένωσις P: ἢ ἕνωσις A corr. Cas. 23 ὑπόληψιν Gat. 25 εἴ τε A

34 *Περὶ δόξης· ἴδε τὰς διανοίας αὐτῶν, οἷαι καὶ οἷα μὲν φεύγουσι, οἷα δὲ διώκουσι. καὶ ὅτι, ὡς αἱ θῖνες ἄλλαι ἐπ' ἄλλαις ἐπιφορούμεναι κρύπτουσι τὰς προτέρας, οὕτως ἐν τῷ βίῳ τὰ πρότερα ὑπὸ τῶν ἐπενεχθέντων τάχιστα ἐκαλύφθη.*

35 *"Ὡι οὖν ὑπάρχει διάνοια μεγαλοπρεπὴς καὶ θεωρία παντὸς μὲν χρόνου, πάσης δὲ οὐσίας, ἆρα οἴει τούτῳ μέγα τι δοκεῖν | εἶναι τὸν ἀνθρώπινον βίον; ἀδύνατον, ἦ δ' ὅς. οὐκοῦν καὶ θάνατον οὐ δεινόν τι ἡγήσεται ὁ τοιοῦτος; ἥκιστά γε."*

36 *"Βασιλικὸν εὖ μὲν πράττειν, κακῶς δὲ ἀκούειν."*

37 *Αἰσχρόν ἐστι τὸ μὲν πρόσωπον ὑπήκοον εἶναι καὶ σχηματίζεσθαι καὶ κατακοσμεῖσθαι, ὡς κελεύει ἡ διάνοια, αὐτὴν δ' ὑφ' ἑαυτῆς μὴ σχηματίζεσθαι καὶ κατακοσμεῖσθαι.*

38 *Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·*
μέλει γὰρ αὐτοῖς οὐδέν.

39 *Ἀθανάτοις τε θεοῖσι καὶ ἡμῖν χάρματα δοίης.*

40 *Βίον θερίζειν ὥστε κάρπιμον στάχυν*
καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή.

41 *Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ,*

42 *ἔχει λόγον καὶ τοῦτο.*
Τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον.

---

5 ἦ οὖν . . . διανοίᾳ μεγαλοπρέπεια, vel ᾧ οὖν . . . διανοίας μεγαλοπρέπεια Pl. *R.* 486 a 6 incipit 368 r εἶναι 9 *τί οὖν λέγει Ἀντισθένης; οὐδέποτ' ἤκουσας; βασιλικόν, ὦ Κῦρε, πράττειν μὲν εὖ, κακῶς δ' ἀκούειν* Epict. iv. 6. 20 *βασιλικόν, ἔφη, καλῶς ποιοῦντα κακῶς ἀκούειν* D.L. vi. 3 13 De cc. 38–42, 50–1, xi. 6, xi. 30–2, vid. A. Elter, *De Gnom. Graec. hist.*, Bonn. 1893, p. 109 sq.

13 *τοῖς . . .*
. . . οὐδέν, ἀλλ' οὐντυγχάνων
τὰ πράγματ' ὀρθῶς ἦν τίθῃ, πράσσει καλῶς Eur. *Fr.* 287 N²

15 Fr. Epici incerti

16 *ἀναγκαίως δ' ἔχει*
βίον . . .
. . . τὸν δὲ μή· τί ταῦτα δεῖ
στένειν ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;

Eur. *Hypsipyle Fr.* 757 N²; Hunt, *Fragm. Trag. Pap.* 34 (60), l. 90; vid. Plu. *Consol. ad Apoll.* 111 a; Clem. Alex. *Strom.*, p. 588 P 18 Eur. *Antiope Fr.* 208 N² 20 Eur. *Fr.* 918 N²; cf. Aristoph. *Ach.* 661; Cic. *ad Att.* vi. 1. 8, viii. 8. 2

---

1 an οἷαι οὖσαι οἷα? March. 1–2 *φεύγουσαι . . . διώκουσαι* corr. Rich. cf. iv. 38 3 *τὰ πρότερα* corr. Cor. *πρότερη* P corr. Bas.: *ἑταίρα* A 5 *Πλατωνικόν.* in initio cap. P *ἦ οὖν* A *διάνοια μεγαλοπρεπῆ* A 9 *Ἀντισθενικόν.* in initio cap. P *β* rubric. om. A *μὲν εὖ* corr. Gat. 11 *ὑφ' ἑαυτῆς καὶ σχ.* A 15 *θεοῖς* corr. Gat. 16 *ὥσσε* P corr. Bas 17 *τὸν μὲν . . . τὸν δὲ* Stob.: *τὸ μὲν . . . τὸ δὲ* 18 *δ' ἡ μεμελήθην* A *ἐμῶν* A

43 *Μὴ συνεπιθρηνεῖν, μη⟨δὲ⟩ ⟨συ⟩σφύζειν ⟨χρεών.⟩*

44 *"Ἐγὼ δὲ τούτῳ δίκαιον ἂν λόγον ἀντείποιμι, ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελός ⟨ἐστιν⟩, ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅταν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει καὶ ἀνδρὸς ἀγαθοῦ ⟨ἔργα⟩ ἢ κακοῦ."*

45 *"Οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ· οὗ ἄν τις αὐτὸν τάξῃ ἡγησάμενος βέλτιστον εἶναι ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα ⟨δεῖ⟩, ὡς ἐμοὶ δοκεῖ[ν], μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον μήτε θάνατον μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ."*

46 *"Ἀλλ', ὦ μακάριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον καὶ τὸ ἀγαθὸν ⟨ᾖ⟩ ἢ τὸ σῴζειν τε καὶ σῴζεσθαι· μὴ γὰρ τοῦτο μέν, τὸ ζῆν ὁποσονδὴ χρόνον, τόν γε ὡς ἀληθῶς ἄνδρα ἐατέον ἐστὶ καὶ οὐ φιλοψυχητέον, ἀλλ' ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ καὶ πιστεύσαντα ταῖς γυναιξίν, ὅτι τὴν εἱμαρμένην οὐδ' ἂν εἷς ἐκφύγοι, τὸ ἐπὶ τούτῳ σκεπτέον τίνα ἂν τρόπον τοῦτον ὃν μέλλει χρόνον βιῶναι ὡς ἄριστα βιῴη."*

47 *Περισκοπεῖν ἄστρων δρόμους ὥσπερ συμπεριθέοντα καὶ τὰς τῶν στοιχείων εἰς ἄλληλα μεταβολὰς συνεχῶς ἐννοεῖν· ἀποκαθαίρουσι γὰρ αἱ τούτων φαντασίαι τὸν ῥύπον τοῦ χαμαὶ βίου.*

48 *Καὶ δὴ περὶ ἀνθρώπων τοὺς λόγους ποιούμενον ἐπισκοπεῖν [δεῖ] καὶ τὰ ἐπίγεια ὥσπερ ποθὲν ἄνωθεν κάτω· ἀγέλας, στρατεύματα, γεώργια, γάμους, | διαλύσεις, γενέσεις, θανάτους, δικαστηρίων θόρυβον, ἐρήμους χώρας, βαρβάρων ἔθνη ποικίλα, ἑορτάς, θρήνους, ἀγοράς, τὸ παμμιγὲς καὶ τὸ ἐκ τῶν ἐναντίων συγκοσμούμενον.*

---

1 Poetae ignoti locus a Porsono restitutus, *Advers.* ed. Kidd, p. 313 2–16 Pl. *Ap.* 28 b, 28 d; *Grg.* 512 d. 17 *ἀναβλέψαι δὲ εἰς τὸν οὐρανὸν καὶ ἰδεῖν περιφορὰς ἄστρων καὶ δρόμους ἡλίου τε καὶ σελήνης* [Pl.] *Axiochus*, 370 b 21 *καθορῶντες ὑψόθεν τὸν τῶν κάτω βίον* Pl. *Sph.* 216 c. Vid. ix. 30, xii. 24 22 incipit 368 v *διαλύσεις τὴν δὲ πληθὺν ὁρᾷς, ὦ Χάρων, τοὺς πλέοντας αὐτῶν, τοὺς πολεμοῦντας, τοὺς δικαζομένους, τοὺς γεωργοῦντας, τοὺς δανείζοντας, τοὺς προσαιτοῦντας;* Lucian. *Charon*, 15 (dialogus Mercurii et Char. desuper intuentium). 24 *ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίαν καὶ πάντα κατ' ἔριν γίνεσθαι* Heracl. 8 D, 46 B

---

1 supp. Porson 2 *Πλατωνικά.* in initio cap. P *τοῦτον* P (hoc) *τούτῳ* Bas.: *τοῦτο* A *ἂν δικ.* Pl. 3 *εἶοι ἰδεῖν* A 6 ⟨*ἔργα*⟩ Bas. e Pl. 8 *αὐτὸν* A *ὑπάρχοντος* P A 9 ⟨*δεῖ*⟩ Bas. e Pl. *δοκεῖν* corr. Bas. sec. Pl. 11 *μὴ* om. A 12 ⟨*ᾖ*⟩ Heind. in ed. Pl. *ὁπόσον δὴ* P A 14 *ἐπιστρέψαντα* A 15 *οὐδεὶς ἂν* P 16 *μέλλοι* A 17 *δρόμον* A 20 *Καλὸν τὸ τοῦ Πλάτωνος* in init. cap. PA *καὶ δεῖ* A *ἐπισκ. δὴ* A *δεῖ* seclusi 21 *κατὰ* corr. Cas. 23 *θρόνους* A

49 Τὰ προγεγονότα ἀναθεωρεῖν, τὰς τοσαύτας τῶν ἡγεμονιῶν μεταβολάς. ἔξεστι καὶ τὰ ἐσόμενα προεφορᾶν· ὁμοειδῆ γὰρ πάντως ἔσται καὶ οὐχ οἷόν τε ἐκβῆναι τοῦ ῥυθμοῦ τῶν νῦν γινομένων· ὅθεν καὶ ἴσον τὸ τεσσαράκοντα ἔτεσιν ἱστορῆσαι τὸν ἀνθρώπινον βίον τῷ ἐπὶ ἔτη μύρια· τί γὰρ πλέον ὄψει;

50 Καὶ

τὰ μὲν ἐκ γαίας φύντ' εἰς γαῖαν,
τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς
εἰς αἰθέριον πάλιν ἦλθε πόλον.

Ἢ τοῦτο· διάλυσις τῶν ἐν ταῖς ἀτόμοις ἀντεμπλοκῶν καὶ τοιοῦτός τις σκορπισμὸς τῶν ἀπαθῶν στοιχείων.

51 Καὶ

σίτοισι καὶ ποτοῖσι καὶ μαγεύμασι
παρεκτρέποντες ὀχετὸν ὥστε μὴ θανεῖν.

θεόθεν δὲ πνέοντ' οὖρον ἀνάγκη
τλῆναι καμάτοις ἀνοδύρτοις.

52 "Καββαλικώτερος", ἀλλ' οὐχὶ κοινωνικώτερος οὐδὲ αἰδημονέστερος οὐδὲ εὐτακτότερος ἐπὶ τοῖς συμβαίνουσιν οὐδὲ εὐμενέστερος πρὸς τὰ τῶν πλησίον παροράματα.

53 Ὅπου ἔργον ἐπιτελεῖσθαι δύναται κατὰ τὸν κοινὸν θεοῖς καὶ ἀνθρώποις λόγον, ἐκεῖ οὐδὲν δεινόν· ὅπου γὰρ ὠφελείας τυχεῖν

---

7 χωρεῖ δ' ὀπίσω
τὰ μὲν ἐκ γαίας φύντ' εἰς γαῖαν,
τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς
εἰς οὐράνιον πάλιν ἦλθε πόλον·
θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλου
μορφὴν ἑτέραν ἐπέδειξεν
Eur. *Chrysippus Fr.* 839, l. 8 N²

Versio latina apud Lucr. 2. 991

13 μισῶ δ' ὅσοι χρῄζουσι ἐκτείνειν βίον
σίτοισι κτλ. Eur. *Suppl.* 1110, cf. Plu. *Cons. ad. Apollon* 110 c. (νώτοισι καὶ στρώμναισι καὶ μαντεύμασιν codd. Eurip., l.c.) 15 *Fr. Adesp. Trag.* 303 N² cf. ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα Stob. *Ecl.* iv, p. 957, ubi multa simillima praesto sunt 17 ὁ ἀνταγωνιστής, ὦ Λάκων, ἐγένετό σου κρείσσων· οὔμενουν, ἔφη, ἀλλὰ καββαλικώτερος Plu. *Apophth. Lac.* 236 e καὶ γὰρ οὖν καὶ ὀνομάζουσιν αὐτὴν οἱ Λάκωνες καββαλικήν, καὶ καββαλικώτερον ἑαυτῶν γέ φασιν τὸν ἐν ταύτῃ τεθραμμένον, οὐκ ἰσχυρότερον Galen, v. 893

For App. Crit. see opposite

ἔξεστι διὰ τῆς εὐοδούσης καὶ κατὰ τὴν κατασκευὴν προιούσης ἐνεργείας, ἐκεῖ οὐδεμίαν βλάβην ὑφορατέον.

54 Πανταχοῦ καὶ διηνεκῶς ἐπὶ σοί ἐστι καὶ τῇ παρούσῃ συμβάσει θεοσεβῶς εὐαρεστεῖν καὶ τοῖς παροῦσιν ἀνθρώποις κατὰ δικαιοσύνην προσφέρεσθαι καὶ τῇ ⟨παρ⟩ούσῃ φαντασίᾳ ἐμφιλοτεχνεῖν, ἵνα μή τι ἀκατάληπτον παρεισρυῇ.

55 Μὴ περιβλέπου ἀλλότρια ἡγεμονικά, ἀλλ' ἐκεῖ βλέπε κατ' εὐθὺ ἐπὶ τί σε ἡ φύσις ὁδηγεῖ, ἥ τε τοῦ ὅλου διὰ τῶν συμβαινόντων σοι καὶ ἡ σὴ διὰ τῶν πρακτέων ὑπὸ σοῦ· πρακτέον δὲ ἑκάστῳ τὸ ἐξῆς τῇ κατασκευῇ· κατεσκεύασται δὲ τὰ μὲν λοιπὰ τῶν λογικῶν ἕνεκεν, ὥσπερ καὶ ἐπὶ παντὸς ἄλλου τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ λογικὰ | ἀλλήλων ἕνεκεν. τὸ μὲν οὖν προηγούμενον ἐν τῇ τοῦ ἀνθρώπου κατασκευῇ τὸ κοινωνικόν ἐστι, δεύτερον δὲ τὸ ἀνένδοτον πρὸς τὰς σωματικὰς πείσεις· λογικῆς γὰρ καὶ νοερᾶς κινήσεως ἴδιον περιορίζειν ἑαυτὴν καὶ μήποτε ἡττᾶσθαι μήτε αἰσθητικῆς μήτε ὁρμητικῆς κινήσεως· ζῳώδεις γὰρ ἑκάτεραι, ἡ δὲ νοερὰ ἐθέλει πρωτιστεύειν καὶ μὴ κατακρατεῖσθαι ὑπ' ἐκείνων. δικαίως γε· πέφυκε γὰρ χρηστικὴ πᾶσιν ἐκείνοις. τρίτον ἐν τῇ λογικῇ κατασκευῇ τὸ ἀπρόπτωτον καὶ ἀνεξαπάτητον. τούτων οὖν ἐχόμενον τὸ ἡγεμονικὸν εὐθεῖαν περαινέτω καὶ ἔχει τὰ ἑαυτοῦ.

56 Ὡς ἀποτεθνηκότα ἤδη καὶ μέχρι νῦν ⟨μὴ⟩ βεβιωκότα, τὸ λοιπὸν ἐκ τοῦ περιόντος ζῆσαι κατὰ τὴν φύσιν.

57 Μόνως φιλεῖν τὸ ἑαυτῷ συμβαῖνον καὶ συγκλωθόμενον· τί γὰρ ἁρμοδιώτερον;

58 Ἐφ' ἑκάστου συμβάματος ἐκείνους πρὸ ὀμμάτων ἔχειν, οἷς τὰ αὐτὰ συνέβαινεν, ἔπειτα ἤχθοντο, ἐξενίζοντο, ἐμέμφοντο· νῦν οὖν ἐκεῖνοι ποῦ; οὐδαμοῦ. τί οὖν; καὶ σὺ θέλεις ὁμοίως; οὐχὶ δὲ τὰς μὲν ἀλλοτρίας τροπὰς καταλιπεῖν τοῖς τρέπουσι καὶ τρεπομένοις, αὐτὸς δὲ περὶ τὸ πῶς χρῆσθαι αὐτοῖς ὅλος γίνεσθαι; χρήσῃ γὰρ καλῶς καὶ ὕλη σοι ἔσται· μόνον πρόσεχε, καὶ θέλε σεαυτῷ καλὸς

8 vide *Test.* x. 11, cf. v. 3 12 incipit 369 r ἀλλήλων

7–20 D 1 σκευὴν X 5 οὖση corr. Cas. Gat. 7 ἀλλ' ἐπίβλεπε Rend. 8 ἐφ' ὅ τι σε Cor. τοῦ] τῶν τοῦ A 11 ὥσπερ om. A D τὰ δὲ χείρω D 11–12 τὰ τὸ P (autem) corr. Bas. 15 μήπω A D 19 ἀπρόσπτωτον A D 20 εὐθέα corr. Cor. ἔξει Rich. 21 ἤδη scripsi: δεῖ ⟨μὴ⟩ Rend. 23 Μόνος P: Μόνον Bas. 25 οἱ A 26 συνέμβαινεν A 29 χρήσει A 30 σου corr. Gat. καλῶς A Cor.: ἱκανὸς Rich. Jack.

εἶναι ἐπὶ παντός, οὗ πράσσεις, καὶ μέμνησο ἀμφοτέρων, ὅτι καὶ διάφορον ⟨ὃ πράσσεις καὶ ἀδιάφορον⟩ ἐφ' οὗ ἡ πρᾶξις.

59 Ἔνδον σκάπτε, ἔνδον ἡ πηγὴ τοῦ ἀγαθοῦ καὶ ἀεὶ ἀναβλύειν δυναμένη, ἐὰν ἀεὶ σκάπτῃς.

60 Δεῖ καὶ τὸ σῶμα πεπηγέναι καὶ μὴ διερρῖφθαι μήτε ἐν κινήσει μήτε ἐν σχέσει. οἷον γάρ τι ἐπὶ τοῦ προσώπου παρέχεται ἡ διάνοια συνετὸν αὐτὸ καὶ εὔσχημον συντηροῦσα, τοιοῦτο καὶ ἐπὶ ὅλου τοῦ σώματος ἀπαιτητέον. πάντα δὲ ταῦτα σὺν τῷ ἀνεπιτηδεύτῳ φυλακτέα.

61 Ἡ βιωτικὴ τῇ παλαιστικῇ ὁμοιοτέρα ἢπερ τῇ ὀρχηστικῇ κατὰ τὸ πρὸς τὰ ἐμπίπτοντα καὶ οὐ προεγνωσμένα ἕτοιμος καὶ ἀπτὼς ἑστάναι.

62 Συνεχῶς ἐφιστάναι, τίνες εἰσὶν οὗτοι, ὑφ' ὧν μαρτυρεῖσθαι θέλεις, καὶ τίνα ἡγεμονικὰ ἔχουσιν· οὔτε γὰρ μέμψῃ | τοῖς ἀκουσίως πταίουσιν οὔτε ἐπιμαρτυρήσεως δεήσῃ, ἐμβλέπων εἰς τὰς πηγὰς τῆς ὑπολήψεως καὶ ὁρμῆς αὐτῶν.

63 "Πᾶσα ψυχή, φησίν, ἄκουσα στέρεται ἀληθείας·" οὕτως οὖν καὶ δικαιοσύνης καὶ σωφροσύνης καὶ εὐμενείας καὶ παντὸς τοῦ τοιούτου. ἀναγκαιότατον δὲ τὸ διηνεκῶς τούτου μεμνῆσθαι· ἔσῃ γὰρ πρὸς πάντας πραότερος.

64 Ἐπὶ μὲν παντὸς πόνου πρόχειρον ἔστω ὅτι οὐκ αἰσχρὸν οὐδὲ τὴν διάνοιαν τὴν κυβερνῶσαν χείρω ποιεῖ· οὔτε γὰρ καθὸ λογική ἐστιν οὔτε καθὸ κοινωνικὴ διαφθείρει αὐτήν. ἐπὶ μέντοι τῶν πλείστων πόνων καὶ τὸ τοῦ Ἐπικούρου σοι βοηθείτω, ὅτι οὔτε ἀφόρητον οὔτε

14 incipit 369 V τοῖς 17 ὅταν οὖν τις συγκατατίθηται τῷ ψεύδει, ἴσθι ὅτι οὐκ ἤθελεν ψεύδει συγκαταθέσθαι· πᾶσα γὰρ ψυχὴ ἄκουσα στέρεται τῆς ἀληθείας, ὡς λέγει Πλάτων Epict. i. 28. 4; cf. ii. 22. 36 ψυχήν γε ἴσμεν ἄκουσαν πᾶσαν πᾶν ἀγνοοῦσαν Pl. *Spb.* 228 c φαίνεταί μοι δόξα ἐξιέναι ἐκ διανοίας ἢ ἑκουσίως ἢ ἀκουσίως, ἑ. μὲν ἡ ψευδὴς τοῦ μεταμανθάνοντος, ἀκ. δὲ πᾶσα ἡ ἀληθής Pl. *R.* 412 e, cf. 382 a καί μοι δοκοῦσιν ἄκοντες ἀληθοῦς δόξης στερίσκεσθαι id. 413 a, cf. *Phd.* 90 d 24, vide vii. 33 *Test.*

3–10, 17–20 D, 13–20 X, 13–24 Mo 2 1–2 ἐπ' ἀμφοτέρων, ὅτι ἀδιάφορον ἐφ' οὗ Cat.: ἀμφοτέρων ὅτι ⟨καὶ μεθ' ὑπεξαιρέσεως ὥρμας⟩ καὶ διάφορον Kron. 2 suppl. March. ἀφ' οὗ A 3 σκέπε A: σκόπει D: βλέπε P corr. Schultz 5 δεῖ δὲ καὶ D μήτε ἐν κινήσει om. D 7 συνεστὼς Cor.: σύμμετρον Jack. καὶ συντ. A: ἀεὶ συντ. Sch. 10 ὁμοιώτερα A 10–12 κατὰ . . . ἑστάναι om. D 15 εἰ βλέπων P εἰς τὰς ψυχὰς A 17 ἄκουσα, φησίν P: Μέμνησο ὅτι πᾶσα ψυχὴ ἄκουσα στέρεται ἀληθείας καὶ σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν· καὶ πάντως ἔσῃ ταύτῃ πραότερος D 18 καὶ σωφροσύνης om. V 2 Mo 1 22 τῶν κυβερνῶσαν P καθὸ ὑλική P Mo 2: corr. Cas.: καθολική A 23 διαφθείροι A

αἰώνιον, ἐὰν τῶν ὅρων μνημονεύῃς καὶ μὴ προσδοξάζῃς. κἀκείνου δὲ μέμνησο, ὅτι πολλὰ πόνῳ τὰ αὐτὰ ὄντα λανθάνει, δυσχεραινόμενα· οἷον τὸ νυστάζειν καὶ τὸ καυματίζεσθαι καὶ τὸ ἀνορεκτεῖν· ὅταν οὖν τινι τούτων δυσαρεστῇς, λέγε σεαυτῷ, ὅτι πόνῳ ἐνδίδως.

65 Ὅρα μήποτε τοιοῦτον πάθῃς πρὸς τοὺς ἀπανθρώπους, οἷον οἱ ⟨ἀπ⟩άνθρωποι πρὸς τοὺς ἀνθρώπους.

66 Πόθεν ἴσμεν, εἰ μὴ Τηλαύγης Σωκράτους τὴν διάθεσιν κρείττων ἦν; οὐ γὰρ ἀρκεῖ, εἰ Σωκράτης ἐνδοξότερον ἀπέθανε καὶ ἐντρεχέστερον τοῖς σοφισταῖς διελέγετο καὶ καρτερικώτερον ἐν τῷ πάγῳ διενυκτέρευε καὶ τὸν Σαλαμίνιον κελευσθεὶς ἄγειν γεννικώτερον ἔδοξεν ἀντιβῆναι καὶ "ἐν ταῖς ὁδοῖς ἐβρενθύετο", περὶ οὗ καὶ μάλιστ' ἄν τις ἐπιστήσειεν, εἴπερ ἀληθὲς ἦν· ἀλλ' ἐκεῖνο δεῖ σκοπεῖν, ποίαν τινὰ τὴν ψυχὴν εἶχε Σωκράτης καὶ εἰ ἐδύνατο ἀρκεῖσθαι τῷ δίκαιος εἶναι τὰ πρὸς ἀνθρώπους καὶ ὅσιος τὰ πρὸς θεούς, μήτε εἰκῇ πρὸς τὴν κακίαν ἀγανακτῶν μήτε μὴν δουλεύων τινὸς ἀγνοίᾳ, μήτε τῶν ἀπονεμομένων ἐκ τοῦ ὅλου ὡς ξένον τι δεχόμενος ἢ ὡς ἀφόρητον ὑπομένων, μήτε τοῖς τοῦ σαρκιδίου πάθεσιν ἐμπαρέχων συμπαθῆ τὸν νοῦν.

67 Ἡ φύσις οὐχ οὕτως συνεκέρασέ ⟨σε⟩ τῷ συγκρίματι, ὡς μὴ ἐφεῖσθαι περιορίζειν ἑαυτὸν καὶ τὰ ἑαυτοῦ ὑφ' ἑαυτῷ ποιεῖσθαι. | τούτου μέμνησο ἀεὶ καὶ ἔτι ἐκείνου, ὅτι ἐν ὀλιγίστοις κεῖται τὸ εὐδαιμόνως βιῶσαι· καὶ μή, ὅτι ἀπήλπισας διαλεκτικὸς καὶ φυσικὸς ἔσεσθαι, διὰ τοῦτο ἀπογνῷς καὶ ἐλεύθερος καὶ αἰδήμων καὶ κοινωνικὸς καὶ εὐπειθὴς θεῷ. λίαν γὰρ ἐνδέχεται θεῖον ἄνδρα γενέσθαι καὶ ὑπὸ μηδενὸς γνωρισθῆναι.

---

11 ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς Aristoph. *Nu.* 362 βρενθυόμενος καὶ τὠφθαλμὼ παραβάλλων Pl. *Smp.* 221 b κἀθ' οἱ μὲν ἠσέλγαινον, ὁ δ' ἐβρενθύετο *Fr. Com. Adesp.* 506 13 τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀνόσιον ἐργάζεσθαι, τούτου δὲ τὸ πᾶν μέλει Pl. *Ap.* 32 d 19 post ποιεῖσθαι incipit 370 r λίαν γὰρ 24 δοκεῖ δέ, φησί, καὶ 'Αθήναζε ἐλθεῖν καὶ μὴ σπουδάσαι γνωσθῆναι, δόξης καταφρονῶν. καὶ εἰδέναι μὲν Σωκράτη, ἀγνοεῖσθαι δὲ ὑπ' αὐτοῦ· "ἦλθον γάρ, φησίν, εἰς 'Αθήνας καὶ οὔτις με ἔγνωκεν" D.L. ix. 36; Democrit. *Fr.* 116 D; cf. Cic. *Tusc.* v. 104

1–4 Mo 2, 7–17 X 2 δὲ om. Mo 2 4 σεαυτῷ Mo 2: ἑαυτῷ P A 5 *Ἄρα* A ⟨τι⟩ τοιοῦτον Cor. 6 ⟨ἀπ⟩άνθρ. Gat. Cas. 7 εἰ τηλαύγης Σωκράτης καὶ διαθ. P: εἰ μὲν τηλ. A κρείττων Par. 2 V 6: κρείσσων P: κρεῖσσον A 9 καρτερικώτατα A X 10 γενικώτερον A 11 τοῖς P 12 ἀπιστήσειεν Gat. (dubitari potest) 13–4 τῷ δίκαιος εἶναι ἀρκεῖσθαι X 14 ἐκεῖ A X: fort. ἐκείνων Sch. 15 μηδὲ μὴν corr. Nauck 18 ⟨Τὸν νοῦν⟩ ἡ φ. Schultz ⟨σε⟩ Gat. 19 ὑφ' ἑαυτοῦ A: ἐφ' ἑαυτῷ Cor. 21 βιῶναι Cor. διαλεκτικῶς καὶ φυσικῶς A 23–4 λίαν . . . γνωρισθῆναι sequuntur ποιεῖσθαι (19): post κρείττων ἦν; c. lxvi transfert Kron. Equidem huc transtuli

68 Ἀβιάστως διαζῆσαι ἐν πλείστῃ θυμηδίᾳ, κἂν πάντες καταβοῶσιν ἅτινα βούλονται, κἂν τὰ θηρία διασπᾷ τὰ μελύδρια τοῦ περιτεθραμμένου τούτου φυράματος. τί γὰρ κωλύει ἐν πᾶσι τούτοις τὴν διάνοιαν σῴζειν ἑαυτὴν ἐν γαλήνῃ καὶ κρίσει [τῇ] περὶ τῶν περιεστηκότων ἀληθεῖ καὶ χρήσει τῶν ὑποβεβλημένων ἑτοίμῃ, ὥστε τὴν μὲν κρίσιν λέγειν τῷ προσπίπτοντι· "τοῦτο ὑπάρχεις κατ' οὐσίαν, κἂν κατὰ δόξαν ἀλλοῖον φαίνῃ·" τὴν δὲ χρῆσιν λέγειν τῷ ὑποπίπτοντι· "σὲ ἐζήτουν· ἀεὶ γάρ μοι τὸ παρὸν ὕλη ἀρετῆς λογικῆς καὶ πολιτικῆς καὶ τὸ σύνολον τέχνης ἀνθρώπου ἢ θεοῦ·" πᾶν γὰρ τὸ συμβαῖνον θεῷ ἢ ἀνθρώπῳ ἐξοικειοῦται καὶ οὔτε καινὸν οὔτε δυσμεταχείριστον, ἀλλὰ γνώριμον καὶ εὐεργές.

69 Τοῦτο ἔχει ἡ τελειότης τοῦ ἤθους, τὸ πᾶσαν ἡμέραν ὡς τελευταίαν διεξάγειν καὶ μήτε σφύζειν μήτε νάρκᾶν μήτε ὑποκρίνεσθαι.

70 Οἱ θεοί, ἀθάνατοι ὄντες, οὐ δυσχεραίνουσιν ὅτι ἐν τοσούτῳ αἰῶνι δεήσει αὐτοὺς πάντως ἀεὶ τοιούτων ὄντων καὶ τοσούτων φαύλων ἀνέχεσθαι· προσέτι δὲ καὶ κήδονται αὐτῶν παντοίως. σὺ δέ, ὅσον οὐδέπω λήγειν μέλλων, ἀπαυδᾷς, καὶ ταῦτα εἰς ὧν τῶν φαύλων;

71 Γελοῖόν ἐστι τὴν μὲν ἰδίαν κακίαν μὴ φεύγειν, ὃ καὶ δυνατόν ἐστι, τὴν δὲ τῶν ἄλλων φεύγειν, ὅπερ ἀδύνατον.

72 Ὃ ἂν ἡ λογικὴ καὶ πολιτικὴ δύναμις εὑρίσκῃ μήτε νοερὸν μήτε κοινωνικόν, εὐλόγως καταδεέστερον | ἑαυτῆς κρίνει.

73 Ὅταν σὺ εὖ πεποιηκὼς ᾖς καὶ ἄλλος εὖ πεπονθώς, τί ἔτι ζητεῖς τρίτον παρὰ ταῦτα, ὥσπερ οἱ μωροί, τὸ καὶ δόξαι εὖ πεποιηκέναι ἢ τὸ ἀμοιβῆς τυχεῖν;

74 Οὐδεὶς κάμνει ὠφελούμενος, ὠφέλεια δὲ πρᾶξις κατὰ φύσιν· μὴ οὖν κάμνε ὠφελούμενος, ἐν ᾧ ὠφελεῖς.

---

21 incipit 370 v ἑαυτῆς 26 μὴ κάμῃς φίλον ἄνδρα εὐεργετῶν, ἀλλ' ἔλεγχε Pl. *Grg.* 470 c τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐγκακῶμεν S. Paul. *Gal.* 6. 9 τὸν ὠφελοῦντά τινα τῶν πλησίον καὶ ἑαυτὸν ὠφελεῖν Stob. *Ecl.* ii, p. 93 W πάντα γὰρ τὸν ὁντινοῦν ὠφελοῦντα ἴσην ὠφέλειαν ἀπολαμβάνειν νομίζουσι παρ' αὐτὸ τοῦτο ibid., p. 95

14–19 D X 25–6 D 3 κωλύειν A 4 τῇ secl. Gat. 5 κρίσει ἀληθεῖ A 6–7 ὑπάρχει κατ' οὐσίαν κἂν κατ' οὐσίαν κἂν κατὰ δ. A 7 φανῇ corr. Cor. 9 ἢ θεοῦ] θείου, mox θείῳ ἀνθρώπῳ Reiske 12 ἔχει τοῦ τελειότης ἤθους A 14 Ὁ θεὸς οὐχ ὅπως ἀθάνατος ὢν οὐ δυσχεραίνει τοιούτων καὶ τοσούτων φαύλων ἀνεχόμενος, ἀλλ' αὐτῶν παντοίως καὶ κήδεται καὶ σὺ ὅσον οὐδ. κτλ. D 20 Κἂν A 21 κρινεῖ Cor. 22 ἄλλως A ἐπιζητεῖς Nauck 23 τόδε καὶ δόξαι A

ΒΙΒΛΙΟΝ Ζ

75 Ἡ τοῦ ὅλου φύσις ἐπὶ τὴν κοσμοποιίαν ὥρμησε· νῦν δὲ ἤτοι πᾶν τὸ γινόμενον κατ' ἐπακολούθησιν γίνεται ἢ ἀλόγιστα καὶ τὰ κυριώτατά ἐστιν ἐφ' ἃ ποιεῖται ἰδίαν ὁρμὴν τὸ τοῦ κόσμου ἡγεμονικόν. εἰς πολλά σε γαληνότερον ποιήσει τοῦτο μνημονευόμενον.

ΒΙΒΛΙΟΝ Η

1 Καὶ τοῦτο πρὸς τὸ ἀκενόδοξον φέρει, ὅτι οὐκέτι δύνασαι τὸν βίον ὅλον ἢ τόν γε ἀπὸ νεότητος φιλόσοφον βεβιωκέναι, ἀλλὰ πολλοῖς τε ἄλλοις καὶ αὐτὸς ἑαυτῷ δῆλος γέγονας πόρρω φιλοσοφίας ὤν. πέφυρσαι οὖν, ὥστε τὴν μὲν δόξαν τὴν τοῦ φιλοσόφου κτήσασθαι οὐκέτι σοι ῥᾴδιον· ἀνταγωνίζεται δὲ καὶ ἡ ὑπόθεσις. εἴπερ οὖν ἀληθῶς ἑώρακας ποῦ κεῖται τὸ πρᾶγμα, τὸ μὲν τί δόξεις ἄφες, ἀρκέσθητι δέ, εἰ κἂν τὸ λοιπὸν τοῦ βίου ὅσον δήποτε, ⟨ᾗ⟩ ἡ [σὴ] φύσις σοῦ θέλει, βιώσῃ. κατανόησον οὖν τί θέλει, καὶ ἄλλο μηδέν σε περισπάτω· πεπείρασαι γὰρ περὶ πόσα πλανηθεὶς οὐδαμοῦ εὗρες τὸ εὖ ζῆν, οὐκ ἐν συλλογισμοῖς, οὐκ ἐν πλούτῳ, οὐκ ἐν δόξῃ, οὐκ ἐν ἀπολαύσει, οὐδαμοῦ. ποῦ οὖν ἐστιν; ἐν τῷ ποιεῖν ἃ ἐπιζητεῖ ἡ τοῦ ἀνθρώπου φύσις. πῶς οὖν ταῦτα ποιήσει; ἐὰν δόγματα ἔχῃ ἀφ' ὧν αἱ ὁρμαὶ καὶ αἱ πράξεις. τίνα δόγματα; τὰ περὶ ἀγαθῶν καὶ κακῶν, ὡς οὐδενὸς μὲν ἀγαθοῦ ὄντος ἀνθρώπῳ ὃ οὐχὶ ποιεῖ δίκαιον, σώφρονα, ἀνδρεῖον, ἐλεύθερον, οὐδενὸς δὲ κακοῦ ὃ οὐχὶ ποιεῖ τἀναντία τοῖς εἰρημένοις.

2 Καθ' ἑκάστην πρᾶξιν ἐρώτα σεαυτόν· πῶς μοι αὕτη ἔχει; μὴ μετανοήσω ἐπ' αὐτῇ; μικρὸν καὶ τέθνηκα καὶ πάντ' ἐκ μέσου· τί πλέον ἐπιζητῶ, εἰ τὸ παρὸν ἔργον ζῴου | νοεροῦ καὶ κοινωνικοῦ καὶ ἰσονόμου θεῷ;

3 Ἀλέξανδρος [δὲ] καὶ Γάιος καὶ Πομπήιος τί πρὸς Διογένη καὶ Ἡράκλειτον καὶ Σωκράτην; οἱ μὲν γὰρ εἶδον τὰ πράγματα καὶ

23 incipit 371 r νοεροῦ

1 φύσεις A 4 τούτου A 5 nullum intervallum A 7 σεαυτῷ P 8 φιλοσόφου σου A 10 ἑώρακά σου κ. πρᾶγμα A 12 ἡ σὴ φ. P: ἡ σὴ φ. οὐ A corr. Kron. 12 βιώσειν corr. Cor. 13 σε om. P 16 ποιήσεις Cor.: ποιήσει ⟨τις⟩ Gat. ἐπὰν P ἔχῃς Cor. 17 τὰ om. A 18 ὃ om. A 19 ἐλευθέριον A 21 ἐρωτᾶς ἑαυτὸν A ἔχῃ A 22 τεθνηκότα A 23 ἐπιζηλῶ P (requiro) corr. Bas. 25 δὲ secl. Cor.: δὴ Rend.